# ΓΕΩΓΡΑΦΙΚΟΝ

τῆς

# ΡΟΥΜΟΥΝΙΑΣ

ἐς ἀκριβεστέραν καὶ πληρεστέραν κατάληψιν τῆς ἱστορίας αὐτῆς,

*Νῦν πρῶτον συντεθὲν καὶ τύποις ἐκδοθὲν ἐν Λειψίᾳ τῆς Σαξονίας εν τῇ τυπογραφίᾳ τοῦ Ταουχνίτζ.*

---

Τόμος α΄. Μέρος β΄.

---

1816.

**Τόμος α'. Μέρος β'.**

# ΓΕΩΓΡΑΦΙΚΟΝ
# ΡΘΥΜΟΥΝΙΑΣ.

---

## Γεωδεσία Ρουμουνίας.

Η Ρουμουνία, ἵνα πρὸς τῇ τῆς ἱστορίας αὐτῆς ἀποπείρᾳ, μικράν τινα καὶ σύντομον, καθ᾽ ὅσον αὐτόπται αὐτῆς ἐγενόμεθα τὰ πλείω λέγοντες, γεωγραφικὴν ἐπισυνάψωμεν ἐπιτροχάδην ἔννοιαν, κεῖται ἀναμεταξὺ τῆς τεσσαρακοστῆς τετάρτης καὶ τῆς τεσσαρακοστῆς ἐννάτης μοίρας τοῦ βορείου πλάτους, νοτιώτατον μέρος ἔχουσα τὸ ἐν τῷ Ρουμουνικῷ ἀγρῷ ἀναμεταξὺ Ρουκτζουκίου καὶ Νικοπόλεως παρίστριον μέρος, καὶ πρὸς τὸ βόρειον τῆς ποτὲ μεσογαίας Νικοπόλεως, ἧς τὰ ἐρείπια διαβαίνοντες ποτὲ ἐθαυμάζομεν, καὶ βορειότα-

τον τὰς πηγὰς τοῦ Ουγγ ποταμοῦ· καὶ ἀναμεταξὺ τῆς τριακοστῆς ὀγδόης, ἐντὸς καὶ αὐτῆς ἀπολαμβανομένης, καὶ τεσαρακοστῆς ὀγδόης τοῦ μήκους, ἀνατολικώτατον μὲν ἔχουσα μέρος τὸ Ακερμάνιον, δυτικώτατον δὲ τὸ ἀντικρὺ τῆς Σολμὺκ μοαγγυορικῆς πόλεως, ἐν δεξιᾷ τοῦ Τισσοῦ κειμένης.

## Παρατήρησις.

Τοιαύτην δὲ θέσιν ἐχούσης τῆς Ρουμουνίας, ὡς πρὸς πᾶσαν τὴν οἰκουμένην καὶ ἀνταιρούσης τῷ μεσημβρινῷ Δαΰτζλάνδ, τῇ βορείᾳ Ιταλίᾳ καὶ τῇ μέσῃ Φράνσῃ, οὐ νομιστέον διὰ τοῦτο, ὅτι ὅσα φύονται ἐν τῷ βορείῳ τῆς Ιταλίας καὶ ἐν τῇ Ιστρίᾳ, ἧς τὸ ἔλαιον καὶ ἐν τοῖς πάλαι χρόνοις ὀνομαστὸν, ἀνταιρουσῶν τῷ Ρουμουνικῷ ἀγρῷ, φύονται καὶ ἐν τούτῳ, καὶ συκόφυτος καὶ ἐλαιόφυτος καὶ οὗτος, ὥσπερ καὶ ἡ Ιστρία καὶ τὰ πέριξ τῆς Γενούης. Καθόλου μὲν οὖν αἴτιον ψύχους καὶ ἀλέας τὰ κλίματα, τοπικότητες δὲ ἔπειτα θαυμασίως ἑκάτερα ἀλλοιοῦσαί τε καὶ κιρνῶσαι,

μετριάζουσιν. Εκτασις μεγάλη ἠπείρου βοῤῥῆθεν, ἔκτασις μεγάλη θαλάσσης, ἐξ ὁποτερουοῦν τῶν μερῶν, ὄρη μεγάλα καὶ ὑψηλὰ παρακείμενα ἐξ οὑτινοσοῦν, δρυμοὶ ὑπὲρ ὄψιν ἐξηπλωμένοι, αὗταί εισιν αἱ τοπικότητες, αἳ τὴν κρᾶσιν τὴν κατὰ τὸ ἔξαρμα τοῦ πόλου ἢ τοῦ μεσημβρινοῦ καθόλου βαδίζουσαν, ἀλλοιοῦσί τε καὶ ταράττουσι, καὶ ἐξιστῶσι τοὺς τοῖς φυσικοῖς πάθεσι μηδεμίαν ποιοῦντας ἐπίστασιν. Τὰ ὑψηλὰ ὄρη ὅσῳ ὑψηλότερα, τόσῳ ψυχρότερα, τῶν ἀπὸ τῆς γῆς ἀνακλωμένων ἀκτίνων, καὶ τὸ περιέχον θερμαινουσῶν, ἐκεῖσε οὐ ῥαδίως ἐξικνουμένων· οὐ γὰρ ἀφ' ἡλίου ἀμέσως ἡ αἰσθητοτέρα θέρμη, ἀλλ' ἐκ τῆς γῆς βαλλομένης ταῖς ἀκτῖσι, καὶ οἱονεὶ κλονουμένης καὶ τρεμούσης καί τριβομένης διεγείρεται· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὰ προσβαλλόμενα σώματα, ἐν πλείονι ποσότητι ὕλης, ἀντιτυπώτερα καὶ στερεώτερα, καὶ αἱ ἀκτῖνες ἧττον πλάγιαι. Ταῦτ' ἄρα καὶ σίδηρος καὶ ἁπλῶς μέταλλον ταῖς ἡλιακαῖς ἀκτῖσι βαλλόμενα, ῥα-

δίως ἐκθερμαίνεται ἐπὶ τοσοῦτον, ὥστε καὶ χερσὶ βουλομένους αὐτῶν ἅψασθαι, διὰ τὴν καῦσιν μὴ τολμᾷν. Ταῦτ' ἄρα καὶ χειμῶνος ἐν δριμεῖ ψύχει τὰς χεῖρας τριβόμενοι θερμαινόμεθα. Ταῦτ' ἄρα καὶ ὑπὲρ τὴν τεσσαρακοστὴν πέμπτην μοῖραν τοῦ πλάτους, αἰθρίας οὔσης καὶ βορείου ἀνέμου ἐπικρατοῦντος, χειμῶνος, ἀσθενεῖς αἱ ἡλιακαὶ ἀκτῖνες τυγχάνουσι, πλαγιώτερον προσβάλλουσαι. Η δὲ παρακειμένη θάλασσα, ὡς ἀραιότερον σῶμα, ἐπιδεκτικὴ μεγάλου ψύχους μὴ οὖσα, μεταδίδωσι κατ' ολίγον τοῖς παρακειμένοις τόποις τῆς ἑαυτῆς κράσεως, καὶ μετριάζει οὕτω τὴν ὑπερβολὴν τοῦ ψύχους· μετριάζει δὲ καὶ τὴν ὑπερβολὴν τῆς θερμότητος, ἐπιδεκτική μεγάλης ἢ ῥαδίας θερμάνσεως μὴ οὖσα· τοῦ πυρὸς, καθόλου, ἐς ἰσοσταθμίαν τείνοντος, καὶ πανταχῇ ἐξ ἴσου ἐξαπλουμένου. Διὰ τὸν αὐτὸν λόγον, μεγάλη ἤπειρος βοῤῥῆθεν, αὔξει τὸ ψύχος· καὶ ἐν νότῳ κειμένη, τῶν βορείων τόπων τὴν κρυερὰν κεράννυσι κρᾶσιν ἐπὶ τὸ ευ-

κραέστερον. Διὰ παραπλησίαν αἰτίαν καὶ τὰ ἀνταίροντα κλίματα, οἱ ὑπὸ τοὺς αὐτοὺς παραλλήλους κείμενοι τόποι, ὅσῳ ἀνατολικώτεροι, τόσῳ δυσκραέστεροι, καὶ ὅσῳ δυτικώτεροι, τόσῳ εὐκραέστεροι, διὰ τὸ πλείω βοῤῥῆθεν ἔχειν ἤπειρον.

Συμβαίνει δὲ τοῦτο τῇ τε καθ' ἡμᾶς οἰκουμένῃ, καὶ τῇ παρὰ τοῦ δυστυχοῦς καὶ περιωνύμου Κολόμβου εὑρεθείσῃ· καὶ γὰρ καὶ ἐκεῖ, ὅσον δυτικώτερα προβαίνει τις ἐν τῷ αὐτῷ παραλλήλῳ, τόσον τὰ ὑπαντώμενα εὐκραέστερα. Τὸ παρίσιον βορειότερον τοῦ Εσσίου περὶ τὰς τεσσαράκοντα ὥρας· ἀλλ' ἧττον ψυχρόν· ἐπειδὴ καὶ δυτικώτερον, καί περ τὸ πάλαι τῆς Κελτικῆς ψυχρᾶς διαφερόντως οὔσης, καὶ χειμῶνος, ἐν μὲν ταῖς συνεφέσιν ἡμέραις, χιόνι πολλῇ νιφομένης, ἐν δὲ ταῖς αἰθρίαις κρυστάλλῳ καὶ πάγοις πληθούσης, δι' ὧν οἱ ποταμοὶ πηγνύμενοι, διὰ τῆς ἰδίας φύσεως ἐγεφυροῦντο, ὥς πέρ φησιν ὁ σικελὸς Διόδωρος· ἀτὰρ καὶ ἡ Λειψία, ἡ πολὺ ἔτι βορειότερον κειμένη, τὸν κρυμὸν καὶ τὴν

*διαμονὴν αὐτοῦ οὐχ ὑφίσταται τηλικαῦτα, ὅσον ἡμῖν ἅπαξ μόνον ἐνταῦθα χειμάσασιν, ἔστι τεκμήρασθαι, ἡλίκα τὸ πολὺ μεσημβρινώτερον Εσσιον. Αἱ μεγάλαι λίμναι τῆς Κολομβικῆς, ὧν ἡ μείζων, ἥ περ καὶ Μείζων λίμνη καλεῖται, ἰσομεγέθης σχεδὸν τυγχάνει τῷ Πόντῳ, αἱ γλυκὺ τὸ ὕδωρ ἔχουσαι, πήσσονται χειμῶνος, καὶ τὴν κρᾶσιν τῶν περικειμένων τόπων ἐξαισίως ἀλλοιοῦσι, καί τοι ὑπὸ τὸν αὐτὸν παράλληλον τῷ βορείῳ τῆς Θράκης οὖσαι, καὶ τῇ Βουργαρίᾳ, ὅπου παραπλήσια ψύχη οὐ γίνονται. Εστι δὲ καὶ ἑτέρα τις αἰτία τῆς εὐκολυνομένης πήξεως. Τὸ γλυκὺ ὕδωρ ῥᾷον ἤ περ τὸ ἁλμυρὸν πήσσεται, τοῦ διαλελυμένου ἅλατος ἀντέχοντος τῇ πήξει καὶ ταύτην βραδύνοντος· δεῖ γὰρ πρότερον τὴν ἀποχώρισιν, ἢ ὡς ἄν τις χυμικὸς εἴποι, τὴν κρήμνισιν τῆς ἑτερογενοῦς ὕλης γενέσθαι, καὶ ἔπειτα τὴν ἐς κρύσταλλον τοῦ ὕδατος σύσφιξιν. Ακούοντας οὖν ὅτι ὁ δεῖνα τόπος ὑπὸ τὴν αὐτὴν μοῖραν τῷ δεῖνι τόπῳ κεῖται, καὶ τούτῳ ἀνταίρει, ὑπο-*

λαμβάνειν εὐθὺς καὶ ταυτοκρασίαν καὶ ταυτοκαρπίαν τῶν τόπων, προπέτεια, μὴ πρότερον καὶ τὴν λοιπὴν διερευνῶντας περίστασιν· εἰσὶ γὰρ καὶ τόποι ἰδιοκρατέες ὑπὸ τὰ αὐτὰ κλίματα, ὥσπερ καὶ ἐν τῷ αὐτῷ τόπῳ τὰ ἐνδιαιτώμενα σώματα, οὐ πάντα ταυκρατέα ἐστί.

## Διαίρεσις Ρουμουνίας.

Μέρη δὲ τῆς Ρουμουνίας, οὓς νομοὺς ἢ ἀγροὺς ὀνομάζομεν, εἰσί· πρὸς ἕω μὲν ἡ Βασσαραβία, καὶ πρὸς δυσμὰς ταύτης, τῷ Προύτῳ ὁριζομένη, ἡ Μολδόβα· πρὸς δυσμὰς δὲ, τὸ Μπανάτιον· πρὸς Βοῤῥᾶν δὲ καὶ ἐν μέρει πρὸς δυσμὰς, τὸ Γύλα· πρὸς νότον δὲ ὁ Ρουμουνικὸς ἀγρός· ἐν μέσῳ δὲ τούτων τῶν νομῶν, ὁ νομὸς το Αρδέλιον κεῖται. Εστι δὲ ἡ λέξις Αρδέλιον ἐπιχώριος, καὶ ἀποδεκτέον ταύτην μόνην, ἀποῤῥίπτοντας, πετρῶν καθ' ἡλιβάτων πᾶσαν ἑτέραν, τὸ Παννοδακία, λέγω, καὶ τὸ Επτάπολις καὶ τὸ Τρανσυλβανία, ὡς βαρβαρικὰς καὶ ματαιοσόφους καὶ τῇ φιλοσοφικῇ γεογρα-

φίᾳ καὶ ἱστορίᾳ ἀντικειμένας. Κεῖται μὲν οὖν ἐν μέσῳ τῆς Ρουμουνίας τὸ Αρδέλιον, ὑπὸ πολλῶν μὲν εὐμόρφων ὀρέων, ὑπὸ πολλῶν δὲ ὡραίων πεδιάδων διακοπτόμενον.

## Παραβολὴ Αρδελίου καὶ Σβάϊτζ.

Ακούοντες ἑτέρων περιγραφόντων τὸ Αρδέλιον, καὶ βλέποντες ἐν γεωγραφίαις ὅτι ὀρεινὴ παντάπασιν ἡ χώρα, ὑπὸ ὑψηλῶν ὀρέων διακοπτομένη καὶ περιλαμβανομένη, καὶ τὰς ὑπερβάσεις ἔχουσα εἰς ἑαυτὴν ὀλίγας καὶ τραχείας καὶ δυσυπερβάτους, τῷ Σβάϊτζ αὐτὸ παρεβάλλομεν· καὶ τῶν ἀνθρώπων ὡς τὰ πολλὰ συστηματομανούντων, ἐφανταζόμεθα ἤδη καὶ τὸ Αρδέλιον, ὡς ἕτερον τοῦ ἑῴου τῆς Ευρώπης Σβάϊτζ, τῆς φύσεως οἱονεὶ φιλούσης, ὥσπερ ἀρχιτέκτονος εὐμηχάνου, οὔρεα οὔρεσι καὶ ὁραθροίσματα ὁραθροίσμασιν ἀντιτιθέναι ἐς ἀντισήκωσιν καὶ ἰσοσταθμίαν· ἀλλ' αὐτόπται οὐ πρὸ πολλοῦ γενόμενοι, ἐμά-

θομεν ἰδίᾳ πείρᾳ, πόσον τἀληθοῦς τὰ γραφόμενα καὶ λεγόμενα ἀπελείπετο. Καὶ δὴ καὶ ὁ πολύγλωσσος Καντεμὶρ ἐν τῷ περὶ Μολδόβης ἐγχειριδίῳ, ἐν ᾧ καὶ πολλὰ ἄλλα κατὰ Κτησίαν ἱστορεῖ, ἐν τῷ δυτικῷ φησὶ τῆς Μολδόβης ὄρη μεγάλα καὶ μάλα ὑψηλὰ εἰσί. Ει περὶ τοιούτων ὀρέων, τοιούτοις χρώμεθα ἐπιθέτοις, τί μενεῖ ἡμῖν ἐς χρῆσιν, ἐρεῖν τι μέλλουσι περὶ Ολύμπου καὶ Παρνασσοῦ καὶ Ελικῶνος καὶ Σπλούγης, καὶ Λευκοῦ ὄρους;

Εστι μὲν οὖν καὶ τὸ Αρδέλιον, ὥςπερ καὶ τὸ Σβάϊτζ, περιστεφὲς καὶ κατάπυκνον ὄρεσι· ἀλλὰ διὰ τὴν ὀροσύγκρισιν ταύτην, ὅμοιον τοῦτο ἐκείνῳ ἡγεῖσθαι οὐ δίκαιον. Αγρια τὰ ὄρη ἐκεῖνα, καὶ πέτρινα καὶ τραχέα καὶ κεκαυμένα, καὶ φρίκην ἐμποιοῦσι, καὶ δρώμενα τοῖς διαβαίνουσι, διαχωριζόμενα ἀλλήλων τὰ πολλὰ, ἀγριωτέροις καὶ τραχυτέροις ὀξέσι καὶ ἀποτόμοις κρημνοῖς, καὶ φρικαλέοις χαραδρεῶσι καὶ φάραγξι. Ράχεις εἰσὶν ἐπὶ πολὺ διήκουσαι καὶ ἀνήκουσαι, ὑπερμεγέθεις καὶ ὑπερύ-

ψηλοι, νιφοσκεπεῖς τὸν πλείω ἐνιαυτὸν εἰσὶ δὲ αἵ καὶ ἀεί· καὶ ὑπὸ μὲν τὴν μέσην, δένδροις ἀειθαλλέσι καὶ πενθίμοις σκέπονται, οἵοις ὁ μῦθος τοὺς κατηφεῖς λειμῶνας τοῦ ᾅδου πλάττει καταφύτους· ὑπὲρ δὲ τὴν μέσην ἄνω μέχρι τῆς κορυφῆς, γυμναὶ σχεδὸν εἰσὶ πάσης φυτικῆς φύσεως, πέτραι ὑπέρογκοι, ἠλίβατοι μόνον καὶ ἡλιόκαυστοι. Εἰκοστὸν που ἤδη ἐνιαυτὸν ἐν τῷ Κοὺρ μητροπόλει τῶν Γριζόνων ἐτυγχάνομεν, μόνης ἡμῖν ταύτης τῆς ὁδοῦ διὰ τὸν πόλεμον οἴκαδε ἐπανακάμπτουσι λειπομένης, καὶ ἔτι καὶ νῦν εἰκὼν τοῦ δέος καὶ φρίκην ἐμποιοῦντος τόπου, ὡς εἰ χθὲς ἑωράκειμεν, ζωηρὰ ἐν τῇ φαντασίᾳ, ἰσχυρῶς ἐγκολαφθεῖσα, διασώζεται. Η τοποθεσία τοῦ Κοὺρ κειμένου ἐν μέσῳ ῥάχεων τραχέων καὶ ὑψηλῶν, καὶ ἐπὶ πολὺ διηκουσῶν, μακρόθεν δὲ ἑτέρων ἐγκαρσίων ταῖς πρώταις ὁρωμένων, καὶ ἔτι ἀγριωτέρων, φρικαλέαν μὲν τῷ ὄντι ἔχει τὴν θέαν, ἀξιοπερίεργον δὲ καὶ τοιαύτην οὖσαν· φιλεῖ γὰρ καὶ τὰ φοβερὰ ἡδονήν τινα καὶ

χάριν ἐμποιεῖν τῇ ψυχῇ ἀναπολούμενα, ὡς καὶ σωτηρίαν τούτων ἀνακαλούμενα· Φρίττομεν ἔτι μεθ᾽ ἡδονῆς τὰς στενὰς καὶ κατεσκαμμένας ὁδοὺς ἀναπεμπάζοντες, ὑπερκειμένων τούτων ἐξαισίων πετρῶν, καὶ ὑπὲρ κεφαλῆς τῷ ὄντι τοῦ διαβαίνοντος ἀπηωρημένων, ἐξ ἑτέρου δὲ τοῦ μέρους, ὀξέων καὶ ἀποτόμων κρημνῶν καὶ ταρταρικῶν φαράγγων καταπιπτόντων. Ἑτέρωθι δὲ πάλιν ἐν ἀποτόμῳ ὄρει τῆς ὁδοῦ ἐσκαμμένης, καὶ βαθὺ κάτω τοῦ Ῥήνου προσαρασσομένου τῇ ῥίζῃ τοῦ ὄρους, καὶ μανικῶς ἀφρίζοντος, νὴ τὴν ἀλήθειαν, τὸ αἷμα ἐν ταῖς ἀρτηρίαις μικροῦ, τὸ λεγόμενον, ἐπήττετο. Διεβαίνομεν γεφύρας ἀπὸ ὀρύγκου ἐς ὄρογκον ἐκτισμένας, καὶ συναπτούσας τὰ δοκοῦντα ἀσύναπτα, ἃς ἐναερίους γεφύρας εἰκότως ἄν τις ὀνομάσειε, ὡς τῶν θρυλλουμένων κήπων τῆς Σεμιράμιδος πάντως ὑψηλοτέρας. ὅ,τε Ῥῆνος ὑπ᾽ αὐτὰς ἐξ ὑψηλοτέρων μερῶν καταρασσόμενος, καὶ ἐπὶ πετρῶν κατακυλιόμενος, καὶ κατασυντριβόμενος, οὔ-

*τως εἰπεῖν, καὶ ἐς λεπτότατα διαιρούμενος, νέφος ὅλον ἐσχημάτιζεν, ὡς ἀπὸ ἐλαστικωτάτου σώματος ἀνακλώμενον, καὶ βιαίως καὶ μανικῶς πως ἐς ὕψος πολὺ ἐπαιρόμενον, καίτοι ἐν ἄλλοις μικροῦ ἐλαστικότητος ἄμοιρον τὴν φύσιν τῶν ὑδάτων ὁρῶμεν. Τοιαῦται δὲ καὶ αἱ ὁδοὶ ἦσαν ἐν πολλοῖς μέρεσιν, ὥστε εἴτις καὶ μικρὸν αὐτὰς ἐξ ἑκατέρου μέρους τῶν διαβαινόντων ἀνέσκαπτεν, πτερῶν ἂν πάντως χρείαν εἶναι, ἐφ᾽ ᾧ ἀπαλλάττεσθαι, κρημνῶν ὀξέων ἐξ ἑκατέρων ὄντων. Ορα δὲ καὶ τὸν Στράβωνα περὶ τούτων λέγοντα, ὡς οὐ δυνατὸν ἐν τῇ κατασκευῇ τῶν ὁδῶν πανταχοῦ βιάσασθαι τὴν φύσιν, διὰ πετρῶν καὶ κρημνῶν ἐξαισίων, τῶν μὲν, ὑπερκειμένων τῆς ὁδοῦ, τῶν δὲ, ὑποπιπτόντων, ὥστε καὶ μικρὸν ἐκβάσιν, ἄφευκτον εἶναι τὸν κίνδυνον, ἐς φάραγγας ἀβύσσους τοῦ πτώματος ὄντος. Οὕτω δὲ στενὴ κατάτι αὐτοῦ ἡ ὁδὸς, ὥστε ἴλιγγον φέρειν τοῖς πεζῇ βαδίζουσι, καὶ αὐτοῖς καὶ τοῖς ὑποζυγίοις τοῖς ἀήθεσι· χειμῶνος δὲ πολλαὶ ἀλλήλων ἐπίκεινται*

πλάκες πάγων ἐπὶ πάγοις γιγνομένων, καὶ ὀλισθαίνουσαι, συνοδίαν ὅλην ἀπολαμβάνειν δύνασθαι, καὶ συνεξωθεῖν ἐς τὰς ὑποπιπτούσας φάραγγας.

Τοιαύτη ἡμῖν ἡ ὁδοιπορία ἀπὸ τοῦ Σαγγὰλ, μᾶλλον δὲ ἀπὸ τοῦ Κοὺρ διὰ τῆς Σπλούγης εἰς Κιαβέναν πολίχνιον, περὶ ὥραν που τῆς λίμνης τοῦ Κώμου, τῆς πάλαι Λαρίας, ἀφιστάμενον, πορευομένοις. Η δὲ διὰ τοῦ μεσημβρινοῦ Αρδελίου ὁδοιπορία καὶ διάβασις, ὥςπερ τις ἐν καλλίστῳ περιβόλῳ περίπατος· ἀπὸ γὰρ τῆς γεωραχίας τῆς ὁριζούσης τὸ Μπανάτιον τοῦ Αρδελίου, ἐν ᾗ Κάσσοβα ἐσχάτη Μπανατίου κώμη πρὸς δυσμὰς, καὶ Κασσοβίτζα πρώτη Αρδελίου πρὸς ἕω, ἅμ᾽ ὑπερβαίνοντι τὴν ῥάχιν, μέχρι τοῦ Μπρέτζκου κωμοπόλεως, οὐ πολὺ τῶν ὁρίων τῆς Μολδόβης ἀφισταμένου, πανταχοῦ ταῖς ὄψεσι τοῦ ὁδοιπόρου ὑπαντῶσιν εὔμορφαι, ἥμεραι καὶ συνηρεφεῖς μέχρι κορυφῆς δένδρεσι γεωραχεῖαι, ὑπ᾽ εὐμορφοτέρων πεδίων διακοπτόμεναι, ἢ εὔμορφα πεδία, ὑπ᾽ εὐμορ-

φοτέρων διακοπτόμενα ῥάχεων. Η τοῦ Πελεγραδίου τοποθεσία ἐπ᾽ ὀφρύος τοῦ Μαρίσσου ὑπερκειμένου, πολλῶν ὡραίων τοποθεσιῶν τυγχάνει ὡραιοτέρα καὶ χαριεστέρα. Δύο χαριέστατα πεδία, τὸ μὲν ἀπὸ δύσεως, τὸ δὲ ἀπὸ μέσης πως ἡμέρας, πόῤῥωθεν πρὸ τῆς πόλεως ἀναπέπταται, ὑπὸ ῥάχεως χωριζόμενα, διηκούσης καὶ τελευτώσης πόῤῥω ἀντικρὺ τῆς πόλεως. Δένδρα δὲ τὰ τὰς γεωραχίας κοσμοῦντα καὶ ὡραιοτέρας ἀποδεικνῦντα, οὐ τῶν ἀειθαλλῶν καὶ κατηφῶν εἰσιν ἐκείνων, οἷς αἱ ὄχθαι τῆς στυγὸς κατάφυτοι, ἀλλὰ δρῦς καὶ ὀξέαι καὶ πτελέαι καὶ σφένδαμνοι καὶ ἕτερα φυλλοβόλα δένδρα, ἃ ἔαρος καὶ θέρους ἀναθάλλοντα φαινόμενα, ἰδεῖν οὐκ ἔστι, καὶ εὐφροσύνης καὶ θυμηδίας μὴ ἐμπίπλασθαι, καὶ τὴν κατήφειαν τοῦ χειμῶνος μὴ ἀποῤῥίπτειν, καὶ τοῦ ἄχθους τῶν πάγων μὴ ἐπιλανθάνεσθαι.

Τέσσαρας ῥάχεις ἡμέρους καὶ μαλακὰς ὑπερβαίνει τις ἀναβαίνων καὶ καταβαίνων, διαβαίνων τὸ μεσημβρινὸν Αρδέλιον,

*ἀπὸ τῶν ἄκρων τοῦ Μπανατίου μέχρι τῶν ἄκρων τῆς Μολδόβης· πρώτη ἐστὶν, ἐν ᾗ ἡ Κάσσοβα καὶ ἡ Κασσοβίτζα· δευτέρα δέ τις πρὸς δυσμὰς Σιμπινίου περὶ τρεῖς ὥρας· τρίτη, ἡ πρὸς δύσιν κειμένη τοῦ Μπρασσοβίου, καὶ τετάρτη, ἣν ἀναβῆναι δεῖ ἐκβάντα τοῦ Μπρέτζκου πρὸς Μολδόβην πορευόμενον· ὑπερβάντι δὲ καὶ καταβάντι ταύτην τὴν ῥάχιν, τὸ ἑστραϊχικὸν ὑπαντᾷ τελωνεῖον, ὅπερ ἐν τῇ ῥίζῃ κεῖται πρὸς ἕω τῆς ῥάχεως. Τούτων αἱ ὑπερβάσες, ὕοντος τοῦ Θεοῦ, δυσχερεῖς διὰ τὸν πηλὸν, καὶ τοσαῦτα καὶ τοιαῦτα τὰ ἀνάντη, ὅσον καὶ το ὑπαντώμενον ἀπὸ Εσσίου ἐς Βασλουΐον πορευομένῳ. Τὸ δ' ἐπίλοιπον τῆς ὁδοῦ, ἀναμεταξὺ Κασσοβίτζης καὶ Μπρέτζκου, διὰ πεδίων ἀνύεται, οὐ δύο, οὐ τριῶν καὶ τεσσάρων ἴσως ὡρῶν πλάτους ὄντος. Ἀπὸ Μπρασσοβίου Μέχρι Μπρέτζκου, περὶ εἴκοσι ὥρας ἀπέχοντος, ἐν πεδίῳ ἡ ὁδός· καὶ τὸ ὀνομαστὸν τοῖς ἀγροῤῥουμούνοις Φουγγαράσσιον, ἀναμεταξὺ Σιμπινίου καὶ Μπρασσοβίου, λεπτά τινα ἀφιστάμενον τοῦ Ολ-*

του, ἐν ὡραιοτάτῳ πεδίῳ κεῖται, ὥςπερ καὶ τὸ Σιμπίνιον καὶ Σεμπέσιον. Ου πόῤῥω πρὸς ἕω Σιμπινίου διέβημεν τὸν Ολτον· τὸν δὲ Μάρισσον πολλάκις εἴδομεν πόῤῥωθεν, καὶ ἐγγύθεν καὶ ὑποῤῥέοντα, ἐκ τῆς ὑπὲρ αὐτοῦ ἐσκαμμένης ἐν τῷ κατάντει τῆς τελευτώσης ἐνταῦθα σχεδὸν γεωραχίας, καὶ πλοῖα ἐν αὐτῷ καταπλέοντα πεφορτισμένα ἅλατι. Πρὶν δὲ ἀφικέσθαι ἐς Φουγγαράσιον, διέβημεν πλῆθος ῥυάκων διειδοῦς ὕδατος ἐπὶ καχλήκων κυλιομένου, ἀπὸ τῆς παρακειμένης ἐν δεξιᾷ μεγάλης γεωραχίας, τῆς ἀπο Σιμπινίου μέχρι σχεδὸν Μπρασσοβίου ἐκτεινομένης, κατερχομένους. Τοσούτους τῷ πλήθει ῥύακας οὐδαμοῦ ἀλλαχοῦ εἴδομεν· καθ' ἕκαστον γὰρ σχεδὸν ὥρας λεπτὸν, ῥύακα διαβῆναι ἔδει. Διέβημεν δὲ καὶ δύο ποταμοὺς πρὸς ἕω τοῦ Μπρασσοβίου ἐξ ἀριστερῶν τῷ Ολτῳ ἐκβάλλοντας.

Η προειρημένη ῥάχις δένδροις φυλλοῤῥόοις καταστεφὴς, καὶ παράλληλός πως τῇ ὁδῷ, μᾶλλον ἢ ἧττον ἀφισταμένη, ἢ

μείζων καὶ ὑψηλοτέρα ὧν εἴδομεν ἐν Ἀρδελίῳ ἐστί· ἀλλὰ καὶ οὕτως τὸ ὕψος αὐτῆς οὐμεῖζον τῶν πρὸς ἕω καὶ δύσιν τοῦ Στρασμποὺργ εἶναι οἰόμεθα, καὶ τὸ ἡμέτερον Πήλιον ὡς πρὸς αὐτὴν, πύργος ἐστὶ καλύβῃ παραβαλλόμενος· Ου πόῤῥω πρὸς δύσιν Μπρασσοβίου παύει τοῦ παράλληλός πως τῇ ὁδῷ εἶναι, ἐκτεινομένη καὶ κλίνουσα πρὸς τὸ νότιον, καὶ πεδίον, κάλλιστον ἰδεῖν, ἐγκολποῦσα, ὅπερ διαβάντι ὑπαντᾷ τὸ Μπρασσόβιον, πόλις συμπερικεκλεισμένη ῥάχεσι πανταχόθεν, κλεισώρεια τῷ ὄντι τυγχάνουσα, καὶ δύο μόνον εἰσόδους ἐκ δυσμῶν ἔχουσα πλησίον ἀλλήλων, καὶ λόφῳ μεγάλῳ καὶ γυμνῷ, ἐν ᾧ καὶ φρούριόν ἐστι, χωριζομένας. Υπέρκειται δὲ πρὸς νότον καὶ τρόπον τινὰ ὑπὲρ τῶν κεφαλῶν τῶν κατοίκων ὄρος, ὑψηλὸν περὶ τὰς διακοσίας ὀργυιὰς, ὡς ἔλεγον ἡμῖν, δένδροις μὲν φυλλοῤῥόοις ἐν τῷ δυτικῷ, θάμνοις δὲ καὶ πόαις ἐν τῷ ἀνατολικῷ μέρει σκεπόμενον, ὧν ἐν τῷ ἀναμεταξὺ καὶ πέτραι ἐφαίνοντο, καὶ ἐνταῦθα πρῶτον ἐν

Ἀρδελίῳ εἴδομεν πέτρας, ἐξαιρουμένων τῶν ἐν τοῖς ῥύαξι καχλήκων. Πρὶν ἀφικέσθαι ἐς Μπρασσόβιον, διαβαίνοντες τὸ πλησίον πεδίον, δρυμὸν εἴδομεν πρὸς νότον τῆς πόλεως ξένον ἡμῖν παντάπασι δόξαντα, πρῶτον ἰδοῦσιν· ἐκ γὰρ ἀειθαλλῶν καὶ φυλλοβόλων δένδρων, σποράδην ἑκατέρου τοῦ εἴδους τῷ ἑτέρῳ μεμιγμένου, συνέκειτο. Ἦν δὲ εὐχερὴς ἡ διάγνωσις, ὀκτώμβριον μῆνα ἐλαύνουσι, τῶν μὲν, μαραινομένων καὶ ὠχριώντων καὶ φυλλοβολούντων ἤδη, τῶν δὲ, θαλλόντων καὶ χλοαζόντων. Τοιούτους δρυμοὺς εἴδομεν ἔτι ἀναμεταξὺ τοῦ εἰρημένου τελωνείου καὶ τῆς Χύρζης, πρώτης κώμης Μολδόβης ἀπὸ Μπρέτζκου ἐρχομένῳ. Διαποροῦσι δὲ ἡμῖν διὰ τὸ ξένον τοῦ πράγματος, παραπλήσιοι δρυμοὶ, ἀπεκρίναντο οἱ συνδιαλεγόμενοι, εἰσὶ καὶ ἀναμεξὺ τοῦ ὑπονομοῦ τῆς Κιάτρας καὶ Ἀρδελίου. Ἀειθαλλῆ δενδρα διαβαίνοντες τὸ Ἀρδέλιον οὐκ εἴδομεν, ἐκτὸς τῶν φυλλοβόλοις μεμιγμένων ἀνωτέρω πρὸς νότον τοῦ Μπρασσοβίου, ὅπου καὶ δρυμὸς ἀειθαλλῶν ἐτύγχανεν.

*Ἀπὸ δὲ τοῦ ἀναμεταξὺ τῶν συνδένδρων ῥάχεων τελωνείου ἐς Μολδόβαν πορευομένῳ, ἁμαξητὴ μὲν ἡ ὁδός ἐστιν, ἀμελεῖται δὲ, ἐπιμιξίας μεγάλων πόλεων ἐξ ἑκατέρου τῶν ὁρίων μὴ οὔσης, καὶ πλήρης λιθαρίων, ἐφ' ὧν κυλιόμενοι οἱ τροχοὶ, δύσκολον καὶ τραχεῖαν καὶ ὀχληρὰν ποιοῦσι τὴν ἔλασιν. Ἐστιν ὧδε ἡ εἰσέλευσις ἐς Ἀρδέλιον οὐχ' ὑπέρβασις, ῥάχεως ἐγκαρσίου μὴ οὔσης, ἀλλ' ἀναμεταξὺ ῥάχεων, δί ἀγκῶν, διὰ συνηρεφοῦς ὕλης κατάσκιον καὶ τρυφηλὴν τὴν ὁδὸν ποιούσης θέρους, καὶ ἠρεμίας καὶ βαθείας ἡσυχίας, διάβασις. Παραῤῥέει δὲ ἐνταῦθα τοῖς διαβαινουσιν, ἐσθ' ὅτε καὶ διαῤῥέει ποταμὸς Οἰτοῦζον καλούμενος, διειδὲς μὲν ἔχων τὸ ῥεῖθρον, καὶ ἐπὶ λίθων καὶ πλακῶν κυλιόμενος, καὶ ἠρέμα παταγῶν· σκολιὸς δὲ πέραν ὑπομονῆς τυγχάνων, καὶ ἐσθ' ὅτε διὰ τοῦτο καὶ οὐκ ἀκίνδυνος. Ἐμβάντι δὲ ἐς Μολδόβαν, διαβάντι τὸ ὅριον, αἱ ῥάχεις μακρύνεσθαι ἀλλήλων ἄρχονται, καὶ ψιλαὶ δένδρων ὁρᾶσθαι· οὐ γῆς λυπρότητι, ἀλλὰ κατοίκων*

ἀσωτίᾳ καὶ ῥυπαρότητι. Μετὰ δὲ Χύρζαν, ἡ δευτέρα κώμη καὶ πολὺ μείζων τῆς πρώτης τὸ Γκρυζέστ ἐστιν, ἐν ἀριστερᾷ καὶ αὕτη τοῦ Οϊτούζου, ὥσπερ καὶ ἡ ἑτέρα, καὶ ἐν ἀναπεπταμένῃ κοιλάδι, περὶ δύο ὥρας τῆς Χύρζης ἀπέχουσα· ἡ ὁδὸς δὲ ἀναμεταξὺ τῶν δύο κωμῶν, διὰ τὴν σκολιότητα τοῦ ποταμοῦ, μηδεμιᾶς γεφύρας οὔσης, δυσέλατος πάντῃ· εἰκοσιπεντάκις γὰρ περίπου διαβαίνειν ἀνάγκη τὸν ποταμὸν, ἱκανὸν, καὶ ἀνυδρίας, ἀεὶ τὸ ῥεῖθρον ἔχοντα, ὥστε καὶ τῶν κοιλιῶν τῶν κυλίεσθαι ποιούτων τὸ ὄχημα ἵππων, ἐξικνεῖσθαι, καὶ κίνδυνος, κατεαγότος τροχοῦ ἢ ἄξονος, ἢ νυκτὸς καταλαβούσης διὰ τὴν δυσοδίαν, διανυκτερεῦσαι ἔν τινι τοῦ ποταμοῦ χερσονησιδίῳ, ὅπερ καὶ ἡμῖν συνέβη, καταλῦσαι ἐν Χύρζῃ μὴ ἐθελήσασι, ἀλλὰ μέσης ἡμέρας χειμῶνος ἤδη, ἐπὶ Γκρυζέστ ἀπάρασιν. Αναμεταξὺ δὲ τῶν κωμῶν καὶ καλύβας εἴδομεν ἀνθρώπων, καὶ σύριγγας ἐν τοῖς κάτω τῶν ῥάχεων, ἐξ ὧν ὑγρὰ ἄσφαλτος ἐξορύττεται, ἥπερ αἱ τόρ-

*μαι τῶν τροχῶν καὶ τὰ ἀκροξόνια ἀλείφονται, εἰς πυρὸς ἐκθλιβομένου ὑπὸ τῆς βιαίας τρίψεως ἐμπόδιον. Ἐξαισίας δὲ καὶ ὑπερόγγους πέτρας, οὐδ' ἐνταῦθα ἐν τοῖς λεγομένοις τραχέσι καὶ πετρώδεσι μέρεσιν εἴδομεν, ὥσπερ ἐν τῷ Σβάϊτζ, ἐκτὸς λίθων, χειροπληθῶν καὶ πλέον ἢ χειροπληθεῖς τῶν πλείστων, καὶ λόφους ἔστιν οὗ ἐκ στρωμάτων ἀλλεπαλλήλων μεγάλων λίθων καὶ χοῦ συγκειμένων, καὶ τρόπον τινὰ χειροποιήτων φαινομένων. Ἔοικε δὲ ἡ γῆ ἐνταῦθα μίγμα τι δύο γῶν εἶναι, ἐκείνης ᾗ χαίρει δρῦς καὶ ὀξύα, κἀκείνης, ᾗ πίτυς καὶ πεύκη καὶ ἐλάτη ἀρέσκονται.*

*Τὰ δὲ ὑψηλότερα ὄρη τοῦ Ἀρδελίου ἐν τῷ βορείῳ περὶ τὴν Πίστριτζαν ὁρᾶσθαι ἠκούσαμεν, ἀλλὰ κἀκεῖνα δοκεῖ οὐ τόσον ὑψηλὰ εἶναι, ὅσον τινὲς λέγουσιν, Ὄλυμπον καὶ Παρνασσὸν καὶ Ἑλικῶνα, καὶ Ἄλπη μὴ θεασάμενοι· οὐδαμοῦ γὰρ ἐν Ἀρδελίῳ, καίτοι τοῦ τόπου διά τε τὸ κλίμα καὶ τὰς λοιπὰς τοπικότητας ἐν τοῖς κρυεροῖς συγκαταλεγομένου, νιφόρη εἶναι*

ἐρωτῶντες ἠκούσαμεν, τοῦ Ὀλύμπου καὶ Παρνασσοῦ τοιούτων ὄντων, παρὰ θάλασσαν καὶ ὑπὸ κλίμα πολὺ θερμότερον, καὶ τῆς ἐν Σικελίᾳ Αἴτνης, τοῦ φλογεροῦ σχεδὸν ἀεὶ ἡλίου, καὶ τῶν φλογερωτέρων ὑπὸ τὴν Βάσιν τοῦ Ἡφαίστου χαλκουργείων κατατῆξαι τὴν ἐπὶ τῆς κορυφῆς περὶ τὸν μέγαν κρατῆρα χιόνα μηδέποτε δυνηθέντων· τῶν γὰρ ἀπὸ τῆς γῆς ἀνακλωμένων ἀκτίνων, αἷς ἡ θερμότης ἀνήκει, καὶ τὸ περιέχον τῶν κορυφῶν θερμαινουσῶν, καὶ τήκεσθαι ποιουσῶν τὴν χιόνα, διὰ τὸ πολὺ ὕψος ἐκεῖσε μὴ ἐξικνουμένων, ἢ ἐξασθενουσῶν πάντη τῷ ἀποστήματι. Τοιαῦτα μὲν οὖν τὰ μεσημβρινὰ τοῦ ἑώου ὁραθροίσματος, τοιαῦτα δὲ καὶ τὰ ἀνατολικὰ τοῦ Σβάϊτζ, τοῦ μέσου ὁραθροίσματος, εἴ τινι καὶ τρίτον ὁράθροισμα τὰ Πυρηναῖα συναριθμεῖν ἐπέρχεται· ἐξ ὧν δὲ ἠκούσαμεν, καὶ ἐξ ὧν αὐτόπται γεγόναμεν, παραπλήσια καὶ τὰ λοιπὰ τοῦ Ἀρδελίου οἷς εἴδομεν, ὥσπερ καὶ τοῦ Σβάϊτζ, εἰκάζειν ἢ τεκμήρασθαι ἔχομεν.

## Οικήτορες Ρουμουνίας.

Πρῶτοι οἰκήτορες νῦν τῆς Ρουμουνίας, διὰ τὸ ἀρχαιότερον καὶ πολυανθρωπότερον, οἱ ῥουμοῦνοι καί εἰσι καὶ λέγεσθαι δίκαιοι· ἔπειτα δὲ τὰ Σλαβικὰ ἔθνη, ὧν πολλοὶ κάτοικοι εἰσιν ἐν τῷ βορείῳ τῆς Ρουμουνίας, ἐν δὲ τῇ λοιπῇ Ρουμουνίᾳ διεσπάραται μόνον, ἐκ τῆς πέραν τοῦ Ιστρου μεταναστάντες ἐνταῦθα· οἱ μοαγγῦροι, οἱ τζέκλερ, οἱ σάξοι, οἱ ἀρμένιοι, οἱ γραικοὶ, οἱ αἰγύπτιοι, καὶ οἱ τοῦρκοι ἔν τισι φρουρίοις μόνον ἐπὶ τοῦ Ιστρου ἐν τῷ Ρουμουνικῷ ἀγρῷ· οἱ γὰρ ἐν Χοτινίῳ ἐν τῇ Μολδόβῃ, καὶ οὗτοι καὶ οἱ τάταροι ἐν Βασσαραβίᾳ, ὑποχωρηθέντων τῶν ὑπερπρουτίων τῇ Ρουσσίᾳ, εἰς Μπραΐλαν καὶ εἰς τὰ πέραν τοῦ Ιστρου μετανέστησαν ἅπαντες· Αἰγύπτιοι μὲν ἐν πάσῃ σχεδὸν εἰσί τῇ Ρουμουνίᾳ, μάλιστα δὲ ἐν τῷ Ρουμουνικῷ ἀγρῷ καὶ ἐν τῇ Μολδόβῃ, καὶ οἱ πλεῖστοι τὸν σκηνητικὸν αἱρούμενοι βίον, τὸν ἑδραῖον ἀποστρεφόμενοι, τόπον ἐκτό-

*που ἀμείβουσιν. Οι δὲ ἑβραῖοι ἐν ταῖς πόλεσι καὶ κωμοπόλεσι τῆς μεσημβρινῆς καὶ ἑώας μάλιστα Ρουμουνίας εἰσὶ, ζῶντες οἱ πλεῖστοι ἀπὸ καπηλείας, ἀγρωνίας, τινὲς δὲ καὶ ἀπὸ ἐμπορίας καὶ ἀπὸ τεχνῶν. Εισὶν ἐν Μυλδόβῃ καὶ ἐν Βασσαραβίᾳ κωμοπόλες ὅπου σχεδὸν πάντες οἱ κάτοικοι ἑβραῖοι εἰσίν. Απὸ Σεγεδὶν μέχρι Μπρέτζκου, διαβάντες τὸ Μπανάτιον καὶ Αρδέλιον, οὐδένα ἰσραηλίτην ἑωράκαμεν. Γραικοὶ δέ εἰσιν ἐν πάσῃ τῇ Ρουμουνία, μάλιστα δὲ ἐν τῷ Αρδελίῳ καὶ ἐν τῷ Ρουμουνικῷ ἀγρῷ, καὶ ἐν τῇ Μολδόβῃ καὶ ἐν τῇ Βασσαραβίᾳ, ζῶντες ἀπὸ ἐμπορίας, ἀπὸ τεχνῶν, ἀπὸ ἀγρωνιῶν, ἀπὸ καπηλείας, τινὲς δὲ καὶ ἀπὸ ἀγρῶν, ἀμπέλων, καὶ ἐν τῷ Ρουμουνικῷ ἀγρῷ καὶ ἐν τῇ Μολδόβῃ καὶ ἐν τῇ Βασσαραβίᾳ, καὶ ἀπὸ ἀξιωμάτων, τελωνίας καὶ ἁπλῶς ἀπὸ ἡγεμονικῶν ὑπηρεσιῶν. Οι δὲ ἀρμένιοι ἀπὸ ἐμπορίας καὶ τεχνῶν σχεδὸν πάντες· ἐπιμέλονται ἔτι καὶ ἱπποφορβίων· ἐν Αρδελίῳ δὲ καὶ ὑπὸ νόμους ἰδίους πολιτεύονται. Οι σάξοι ἀπὸ*

*καπηλείας, ἀπὸ τεχνῶν καὶ ἀπὸ ἐμπορίας ζῶσι· τινὲς δὲ αὐτῶν καὶ κτηματικοὶ ὄντες, ζῶσιν ἀπὸ κτημάτων, ἀκόλουθοι σχεδὸν πάντες τῷ Λουθήρου δόγματι ὄντες καὶ ἰδίᾳ πολιτευόμενοι, καὶ διαλέκτῳ δαϋτζικῇ χρώμενοι· καὶ ἄμικτοι τοῖς ἑτέροις, καίτοι ἐν μέσῳ πολλῶν ῥουμούνων βιοῦντες, τῆς ἀνθρωπότητος πάντως μὴ οὔσης ἱκανῆς πρὸς ἕνωσιν· ἐκτόπως γὰρ φίλαυτον τὸ ἔθνος καὶ περιαυτονοοῦν, καί, καθόλου, πάντες οἱ δάϋτζοι τοιοῦτοι τυγχάνουσι, καίτοι ἄλλως διὰ τὴν περὶ τὰς ἐπιστήμας καὶ τέχνας καὶ τὰ πολιτικά, καὶ τὴν ἄλλην σύνεσιν καὶ πρόνοιαν περὶ τὸν βίον, ἄξιοι λόγου καὶ σέβατος. Οι δὲ μοαγγῦροι καὶ οἱ τζέκλερ ἀπὸ κτημάτων, ἀπὸ γεωργίας, ἀπὸ ἀξιωμάτων, ἀπὸ στρατείας. Οι σλάβοι ὡς οἱ ἐφεξῆς ῥουμοῦνοι.*

*Οι δὲ ῥουμοῦνοι τέλος, οἱ πλεῖστοι μὲν ἀπὸ τῶν δημητριακῶν καρπῶν, καὶ ἀπὸ ἀμπέλων καὶ ἑτέρων ξυλίνων καρπῶν, καὶ ἀπὸ κτηνοτροφίας, ἀγαθῆς οὔσης ὑπερφυῶς τῆς γῆς ἐν πάσῃ σχεδὸν τῇ Ρουμου-*

*νίᾳ, ἔν τε ξυλίνοις καὶ σιτίνοις καρποῖς· τινὲς δὲ ἀπὸ κτημάτων, ἀξιωμάτων, τελωνίας, ἁλατωνίας, καὶ καθόλου, ἀπὸ ἡγεμονικῶν ὑπηρεσιῶν καὶ προσοδωνιῶν, καὶ μάλιστα ἐν τῇ μεσημβρινῇ καὶ ἑώᾳ Ρουμουνίᾳ· ἐν γὰρ τῇ ἰστραΐχικῇ σχεδὸν οὐκ εἰσί ῥουμοῦνοι ἄρχοντες· εἰσὶ δὲ οἳ καὶ ἀπὸ ἐμπορίας καὶ τεχνῶν. Αλλὰ γὰρ καθόλου εἰπεῖν, οἱ ἡμέτεροι ῥουμοῦνοι οὐ πάνυτοι χαίρουσι τῇ Αρεος καὶ Αθηνᾶς καὶ Ερμοῦ καὶ Απόλλωνος λατρείᾳ, τῇ τῆς Δήμητρος καὶ Πανὸς καὶ Διονύσου μᾶλλον ἀρεσκόμενοι. Οι δὲ κάτοικοι τῆς Βασσαραβίας ζῶσι καὶ ἀπὸ ἁλιείας, πλησίον ἑαυτῶν Ιστρον ἔχοντες καὶ ἰστρολίμνας καὶ Πόντον καὶ ποντολίμνας καὶ Τύραν, ὅπου πλῆθος ἀπίθανον ἰχθύων νήχεται. Αυτῶν δὲ οἱ τάταροι πρότερον ἀπὸ κτηνοτροφίας ἔζων καὶ γεωργίας, ὥςπερ καὶ αἱ ἐν τῷ μέσῳ τῆς Βασσαραβίας ἀναμεταξὺ ποτὲ ταττάρων καὶ αἱ περὶ τὰ φρούρια ῥουμουνικαὶ κῶμαι. Η δὲ ῥουμουνικὴ κώμη ἡ προκειμένη τοῦ Κελλίου, καὶ*

παλαιὸν Κελλίον ὀνομαζομένη, τῆς εὐπλοίας τῶν στομάτων τοῦ Ιστρου ἐφρόντιζεν. Οι δὲ ἀντικρὺ αὐτῆς ἐν τῇ Βασσαραβίᾳ καζάκοι ἀπὸ ἁλιείας ἅπαντες ἔζων. Αναμεταξὺ Τιγινίου καὶ Ακερμανίου παρὰ τὸν Τύραν κῶμαι εἰσὶ ῥουμουνικαὶ, ἐκ τῆς Κωνσταντινουπόλεως ἐξηρτημέναι πρότερον. Αυτῶν οἱ κάτοικοι, δι' εὐφορίαν τοῦ τόπου καὶ διὰ τὴν σφετέραν ἐπιμέλειαν καὶ πρόνοιαν, οἱ εὐτυχέστεροι ῥουμοῦνοι ἐτύγχανον. Ξύλα χειμῶνος ἐπ' ἀλέᾳ οὐκ ἔχουσιν ἐνταῦθα, πλίνθους δὲ ὑπερσπιθαμιαίας πλάττοντες, ἐκ κόπρου βοῶν, καὶ ἐν ἡλίῳ ξηραίνοντες, ἔχουσι χειμῶνος εἰς ἀλέαν κοπρόξυλα.

Εισὶ δὲ ἔτι ῥουμοῦνοι καὶ πέραν τοῦ Τύρα, ἐν ταῖς κώμαις τῆς πρώην Πόλσκης, ἐκ Μολδόβης ἐκεῖσε μεταναστάντες· ἀτὰρ καὶ περαιτέρω, πέραν τοῦ ποταμοῦ Μπὸγ, τοῦ Υπάνεως τῶν ἑλλήνων, ἀναμεταξύ αὐτοῦ τε καὶ τοῦ Βορυσθένους, κῶμαι ὅλαι ῥουμουνικαὶ τυγχάνουσι, πρὸ χρόνου ἤδη τῶν ῥουμούνων ἐκεῖσε μεταναστάντων ἐκ

τῶν ἐντὸς τοῦ Τύρα, ἐλπίδι ἴσως κρείσσονος ἐν μετοικήσεσι βίου, ἢ τὰς τῶν τατάρων καὶ τύρκων ἐπηρείας ὑφίστασθαι μηκέτι δυναμένων, κἀκεῖσε πρὸς τοὺς ὁμυθρήσκους καταφυγόντων. Πλείους δὲ ἔτι ῥουμοῦνοι διεσπάραται πέραν τοῦ Ἰστρου, ἔν τε τῇ Βουργαρίᾳ καὶ τῇ Σερβίᾳ καὶ τῇ Μακεδονίᾳ, καὶ μέχρις ἐντὸς τῆς Θεσσαλίας καὶ τῆς Ηπείρου, πολλοστημόριον πάντως βουργάρων καὶ σέρβων καὶ γραικῶν, οἷς συμμεμίχαται, τυγχάνοντες, καὶ ῥουμούνους ἑαυτοὺς ἄχρι τοῦ νῦν ὀνομάζουσιν ἐν τῇ ἰδίᾳ αὐτῶν γλώσσῃ τῇ ῥουμουνίδι, ἐς ἣν πολλαὶ λέξεις καὶ φράσεις καὶ ἰδιωτισμοὶ τῶν, οἷς παροικοῦσιν, ἐθνῶν ἐσέῤῥησαν· οὐ γὰρ ἦν ἄλλως γενέσθαι, καὶ ξενιζέσθω μηδεὶς τῷ πράγματι, μηδὲ συμπεραίνειν ἐκ τούτου κινείσθω τὰ ἀσυμπέραστα, μηδ' ἀνερευνάτω ἑτέραν τινὰ ἀρχὴν τῶν πέραν τοῦ Ἰστρου ῥουμούνων, παρὰ τὴν ἐξ ἀριστερῶν τοῦ Ἰστρου, μηδὲ καταγωγὴν ἐξ ἐκείνων τοῖς ἐντὸς τοῦ Ἰστρου πρωτορουμούνοις, ἀτόπως μάλα

*καὶ παραλόγως ὑποτιθέναι βουλέσθω, ὥς τινες κολακείας μᾶλλον φίλοι ἢ ἀληθείας, ἢ παρηγμένοι τῷ ῥουμοῦνος ὀνόματι μικρὰ πάμπαν τοῦ ῥουμνιὸς διενηνοχότι, ἐφαντάσθησαν. Ἔτι δέ εἰσι κοινότητες ῥουμουνικαὶ ὅπου καὶ ἡ γραικικὴ γλῶσσα κοινὴ τοῖς ῥουμούνοις ἐστίν.*

*Εἰσὶ μὲν οὖν ῥουμοῦνοι τοῖς ὁμοθρήσκοις αὐτῶν παροικοῦντες, καί που καὶ κώμας ἴσως ἰδίας ἔχοντες, ἐν Βουργαρίᾳ καὶ Σερβίᾳ καὶ Θρᾴκῃ, ἐν ταῖς κωμοπόλεσι καὶ πόλεσι μάλιστα. Πλείους πολλῷ τούτων κατοικοῦσι περὶ τὴν ἐν Μακεδονίᾳ πόλιν Πιτόλια (τὰ Πιτόλια), ὅπου καὶ κῶμαι ῥουμούνων εἰσὶν, κἀντεῦθεν ἐς τὰ περαιτέρω πορευομένῳ πολλοὺς ἔτι, καὶ ἰδίᾳ κωμηδὸν καὶ μίγδην ἑτέροις, ὁρᾶν ἐστὶ ῥουμούνους, μέχρι τῆς πρώην ἀκμαζούσης διὰ τὰς τέχνας καὶ τὸ ἐμπόριον, μόνης ἐκεῖ πόλεως Βοσκοπόλεως· τὰ νῦν δὲ λείψανα τῆς πρώην καὶ παρελθούσης αὐτῆς λαμπρότητος, καὶ ἀμυδρὰ πάντῃ μνημόσυνα, οἰκαρχίαι τινὲς περίπου διακόσιαι σώζονται. Οἱ πολ-*

*λοὶ τῆς Βοσκοπήλεως κάτοικοι, διὰ τοὺς ἀλλεπαλλήλους ἐπηρεασμοὺς ἐκτοπισθέντες, ἄλλος ἄλλῃ ἐτράποντο, ὅπῃ ἕκαστος ἡσυχαίτερόν οἱ καὶ κερδαλεώτερον καὶ εὐκολώτερον βίον ἔχειν ἐνόμιζε· καί εἰσὶ τούτων πολλοὶ ἐν ταῖς πόλεσι τῆς Μοαγγυορίας, παντοῖον εἶδος ἐμπορίας μετιόντες, καὶ ἐν Βιέννῃ ἔτι, καὶ ἐν ἑτέραις πόλεσι τοῦ Δαϊτζλὰνδ καὶ τῆς Πόλσκης. Πλείους ἔτι ἐν ταῖς πόλεσι καὶ κωμοπιόλεσι καὶ κώμαις τῆς Τυρκίας, καὶ ἐν τῇ ἡμετέρᾳ πατρίδι ταῖς Μηλαῖς, ὑπὸ τὸ Πήλιον ὄρος πρὸς νότον κειμέναις, βοσκοπολῖται μέτοικοι εἰσὶ, σὺν γυναιξὶ καὶ τέκνοις αὐτῶν ἱκόμενοι, ὧν δύο χαλκευτικῇ, μᾶλλον δὲ, σιδηρευτικῇ τὸν βίον ἐπορίζοντο, ὁ δὲ τρίτος πυροβολουργὸς ἐτύγχανεν· αἱ δὲ γυναῖκες αὐτῶν περικνημίων καὶ περιποδίων ἦσαν ἄρισται πλέκτριαι.*

*Μέσοβον, κωμόπολις ὀνομαστὴ ἐν τῇ Πίνδῳ, καθ' ὁδὸν ἀπὸ Τρίκκης καὶ Γρεβενῶν πορευομένῳ εἰς Ιωάννινα, ἐν Ηπείρῳ πόλιν πρωτεύουσαν καὶ περίφημον, καὶ*

αἱ περὶ τὸ Μέσοβον πέντε κῶμαι ῥουμουνικαὶ τυγχάνουσιν. Η γραικικὴ γλῶσσα κοινὴ ἐν Μεσόβῳ, ὅπου καὶ σχολεῖον ἐστὶν ἑλληνικὸν, καὶ πατρὶς πεπαιδευμένων ἀνδρῶν ὑπῆρξεν, ὧν πρώτως ἄξιος λόγου ὁ Ζερζούλης ἐστὶ· Νικόλαος. Ταύτης τῆς κωμοπόλεως, ἐμπορευσόμενοι πολλοὶ κάτοικοι πολλαχῆ τῆς Ευρώπης πορεύονται. Πρὸς δυσμὰς Μεσόβου κατὰ τὸ Ζαγόριον, ὑπονομὸν Ηπείρου ὀνομαστὸν ἐν τῇ Τυρκίᾳ, κῶμαι ῥουμουνικαί εἰσὶ, Δολιάνιον, Γρεβενίτιον, Φλόρον, Διργγάϊον, Βοβοῦσα καὶ ἕτεραι ἴσως. Πρὸς Βοῤῥᾶν πάλιν Μεσόβου, ἐν τῇ ἐπαρχίᾳ τῶν Γρεβενῶν, ῥουμουνικαὶ κῶμαι. Κρανία, Αβδελλα, Περιβόλιον· καὶ κατὰ τὴν Κόνιτζαν, Σαμαρίνα, Φούρκα, καὶ κατὰ τὴν Ελασῶνα ἐν τοῖς ὑπολυμπίοις πρὸς δυσμὰς, Βλαχολίβαδον, κωμόπολις, ὅπου καὶ ἑλληνικὸν σχολεῖον, Κοκκινόπηλον, Φτέρη· καὶ Νεχώριον κατὰ τὰ Σέρβια, καὶ περὶ τὴν Θεσσαλονίκην που κώμη μεγάλη ῥουμουνική, ἧς οἱ κάτοικοι, ἀμελείᾳ πάντως τοῦ ποιμένος,

*μωαμεθανοί εἰσι, καὶ οὐδὲ γρῦ τυρκιστὶ φθέγγεσθαι δύνανται, τὴν ῥουμουνίδα γλῶσσαν διαλεγόμενοι. Ου πόῤῥω τῆς πόλεως Καστορίας, Κλεισοῦρα ἐστὶ ῥουμουνικὴ κωμόπολις, πατρὶς καὶ αὕτη ἀνδρῶν πεπαιδευμένων.*

*Ετι δὲ πρὸς χειμερινὰς δυσμὰς τοῦ Μεσόβου, κῶμαι ῥουμουνικαί εἰσιν, ὧν αἱ πρωτεύουσαι Καλάῤῥειτα καὶ Σιρακὼ κικλήσκονται. Τούτων οἱ πλείους κάτοικοι, καπποῦτάδες κοινῶς λεγόμενοι, ῥάπται δηλονότι καππῶν, χειμερινῶν ἐσθήτων ἐκ μελάνων μαλλωτῶν ἐριοϋφασμάτων, ἐν ταῖ βορείαις τοῦ Πηλίου κώμαις τῶν κρειττόνων καὶ πολυτελεστέρων, καὶ ἐν τῇ ὑπὸ τὸν Ολυμπον πρὸς ἕω κωμοπόλει Λιτοχώρῳ (τὸ) τῶν δευτέρων καὶ εὐωνοτέρων, πεποιημένων. Τὰς χειμερινὰς ταύτας μαλλωτὰς ἐριοεσθῆτας ἐμπορεύονται ἐν ταῖς παραθαλασσίαις πόλεσι τῆς Ιταλίας, ἀπαίροντες, διαίροντες καὶ καταίροντες ἐκεῖσε καθ᾽ ἕκαστον ἐνιαυτὸν, καὶ χειμερίζοντες πέραν τῆς ἀδριατικῆς θαλάσσης τὰς κάπ-*

πας ῥάπτοντες καὶ πιπράσκοντες, ἀλέαν οὕτω τοῖς ῥιγώδεσιν ἱταλοῖς, τοῖς θαλασσοπόροις μάλιστα, τεχνώμενοι.

Πρὸς χειμερινὰς ἀνατολὰς πάλιν τῆς Πίνδου, περὶ τὰς πηγὰς τοῦ Ἀχελώου ποταμοῦ, ἕτεραι ῥουμουνικαὶ συνοικίαι τυγχάνουσιν, ὧν αἱ οὐ πόῤῥω τοῦ Μεσόβου οὖσαι, Χαλίκιον, Λεπενίτζα, Κρανία, Νεβόδιον, Βοροβίκον, Κοκλέοι, Καστανία, Κλινοβὸν, Πετρούλιον καὶ Βετρινίκον ὀνομάζονται. Τούτων καὶ τῶν λοιπῶν οἱ κάτοικοι ἀπὸ προβάτων ζῶσι καὶ ἡμιόνων, τοὺς δημητριακοὺς καρποὺς, ὅποι χρεία διὰ τῶν ἡμιόνων, οὐ συρόντων, μᾶλλον δὲ οὐ κυλιόντων ὀχήματα, ἀλλ' ἐν ταῖς ὠμοπλάταις φορτιζομένων, μετακομιζόμενοι, καὶ ἐν κώμαις καὶ ἐν κωμοπόλεσι πιπράσκοντες. Καὶ ἐς τὴν ἡμετέραν πατρίδα ἔρχονται, καὶ τὸν εἰσκομισθέντα φόρτον ἀποδόμενοι, ἕτερα φορτία, ἔλαιον ἢ ἰσχάδας ἢ ἐλάας ὠνούμενοι, ἀντιφορτίζονται καὶ ἀπέρχονται, κομιζόμενοι ταῦτα ἀλλοσέπη, ὅπου χρεία πάλιν τούτων,

πωλήσοντες. Οι δὲ ποιμένες, θέρους μὲν, μακρὰν θαλάσσης ἐς τὰ ὄρη ἀνέρχονται, τὰς πολυαρίθμους αὐτῶν ἐς βοσκὴν ἐλαύνοντες ὄϊας· μὰ δίαγε οὐκ ἀπειροκάλως· χειμῶνος δὲ ἐς τὰ παράλια, ἔςτε τὰ κατὰ τὸν παγασητικὸν κόλπον, καὶ ἐς τὰ ὑπὸ τὴν Οθρυν μάλιστα, ὅπου πολλαὶ μυριάδες ὀΐων ἐκχειμάζουσι, καὶ ἀλλαχῆ, ὡς κρείττω χειμάδια· μὰ δία γε οὐκ εὐήθως, οὔμενουν οὐδ' ἀκόμψως. Αλλὰ φιλοσοφεῖν δεῖ, ὀλίγον γε· ἄλλως γὰρ ὁ ζηλωτὸς οὑτοσὶ καὶ μακάριος τῷ ὄντι καὶ ἀθωότατος βίος, ἀκατάληπτος. Εισὶ δέ τινες τούτων, οἱ τὰς συνεχεῖς ταύτας βοσκομεταναστάσεις σὺν γυναιξὶ καὶ τέκνοις πανοικεὶ ποιοῦνται· καὶ θέας ἄξιον πάντως τυγχάνει, ὁρᾶν πολλάκις γάμους ὑπαιθρίως τελουμένους, καὶ ποιμενοχοροὺς ἐπὶ τούτοις, καὶ νύμφας ἀπὸ μάνδρας ἐς μάνδραν, πομπῇ ποιμενικῇ, οὐκ ἐσθῆτι λαμπρᾷ καὶ πολυτελεῖ, ἀλλ' ἱλαρότητι καὶ λαμπρότητι προσώπων συντεθειμένῃ, ἀγομένας, καὶ τὴν χαρὰν καὶ τὴν εὐχαρίστησιν ἐν

*τοῖς προσώποις τῶν χαρωπῶν ποιμένων καὶ ποιμενίδων ἀναζωγραφουμένην, ἅ περ ἰδεῖν οὐκ ἔστιν ἐν τοῖς προσώποις ἑτέρων ῥουμούνων, κρείττονα τάχα καὶ ἀνώτερον ἑλομένων βίον, ἀλυόντων δὲ τὰ πάντα καὶ μεμψιμοιρούντων, παρὰ τὰ ἐμπορικὰ αὐτῶν κιβώτια καὶ τὰς λογιστικὰς μὲν μάλα, μικρὸν δὲ πάμπαν συλλογιστικὰς, καὶ πολὺ ὀφθαλμοβόρους καὶ ὑγειωρύχους τραπέζας, μέχρις ὠχριάσεως καὶ τήξεως καθημένων, καὶ τὰ γλύμματα μόνον τῶν ἀργυρίων καὶ τῶν χρυσίων καὶ τοὺς γύρους αὐτῶν ἀσκαρδαμυκτεὶ ἀναθεωρούντων, ἐν οἷς γύροις, λέγω, τὴν σύμπασαν ἐν ἀνθρώποις εὐδαιμονίαν περιορίζουσι καὶ συμπερικλείουσι. Καθόλου δὲ οἱ πέραν τοῦ Ἴστρου ῥουμοῦνοι, ποιμένες ἦσαν καὶ εἰσὶν ἔτι πολλοὶ, καὶ τὸ βλάχος, ὡς οἱ ἀλλοεθνεῖς αὐτοὺς ὀνομάζουσι, συνώνυμόν πως ἐστὶ τῷ ποιμὴν ἢ βοσκὸς ὀνόματι· καὶ τὸ Βοσκόπολις αὐτὸ ποιμένων πόλις σημαίνει. Σύμπαντες οὗτοι περὶ τὰς ὀγδοήκοντα χιλιάδας σώματά εἰσίν. Οὗτοι πάν-*

τες πάντως απόγονοί εισι των εκ των παριστρίων ἐς τὰ νότια καταφυγόντων, καὶ μέχρι τῶν τῆς Θετταλίας καὶ Ηπείρου χωρίων ἀφικομένων, ἀθόρυβον καὶ ἀκίνδυνον οὕτω βίον ἀναζητούντων, Αττίλα ἔρημα καὶ ἀκατοίκητα τὰ δεξιὰ παρίστρια ἐπιτάξαντος εἶναι, ἢ καί τινων πρὸ τοῦ Αττίλα καὶ μετ᾽ αὐτὸν, ἔκτε τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν παριστρίων μεταναστάντων, καὶ καταλιπόντων ταῦτα, ὑπὸ τῶν βαρβάρων ἐθνῶν παρὰ πολὺ συχναζόμενα.

## Αρμένιοι καὶ Αιγύπτιοι.

Ηγεμονεύοντος ἐν Μολδόβῃ, ἀγαθῇ τύχῃ, Αλεξάνδρου τοῦ χρηστοῦ (ἀτζὲλ μπουν), καὶ ὄντος καὶ ἐπονομαζομένου, δύο ἔθνη ἐξ ἔω ἐς τὴν Μολδόβην ἦλθον· οἱ Αιγύπτιοι, οὓς τζιγγάνους οἱ μολδοβάνοι ὀνομάζουσιν, ὀλίγῳ πρότερον, καὶ μετ᾽ αὐτοὺς οἱ ἀρμένιοι. Ουτοι, Λέοντος τοῦ βασιλέως αὐτῶν μετακινῆσαι τὸ σφέτερον δόγμα θελήσαντος, καὶ τοῦ ἔθνους στα-

*σιάσαντος διὰ τὴν ἐκ μοναχῶν ἐκεῖ ἀναφυεῖσαν διχόνοιαν (ταραχοποιῶν λατίνων ἔργον ἐστὶ καὶ τοῦτο), καὶ διασπαρέντος ἐν μέρει, τῶν τύρκων τὴν ἀρχὴν αὐτῶν καταλυσάντων, μετὰ τοῦ ἐπισκόπου τοῦ παλαιοῦ αὐτῶν δόγματος, ἐς τὴν Γάλιτζαν ἵκοντο (πάντως διὰ μέσου φιλοξένων ταιτάρων αὐτοί τε καὶ οἱ αἰγύπτιοι περάσαντες), καὶ ἐξ αὐτῶν περὶ τὰς τρεῖς χιλιάδας οἰκογένειαι, ἐμπορίας χάριν ἐν Μολδύβη οἰκῆσαι προσκέκληνται. Επειτα τῶν ἐπισυμβασῶν ταραχῶν δι' ὄχλου αὐτοῖς γενομένων, ἐς τὸ Αρδέλιον οἱ πλεῖστοι μετῴκησαν.*

*Οι δὲ αἰγύπτιοι ἐκ τοῦ Καυκάσου τὸ πρῶτον ὁρμώμενοι, καὶ πολλαχοῦ περιφερόμενοι, ἐκ τῶν περικαυκασίων τελος, ἐπὶ τοῦ πολυθρυλλήτου Τιμοὺρ μπέη ἢ Τιμουρλένη, τοῦ τὰ δυτικὰ τῆς Ασίας τοῖς αὐτοῦ πολυαρίθμοις στρατεύμασι καταπλημμυρήσαντος καὶ ἀναστατώσαντος, μεταναστάντες καὶ πολλαχῇ περιφερόμενοι καὶ περιπλανώμενοι ὑπὸ ἰδίους φυλάρχους,*

*ἐς τὴν Μολδόβαν κατήντησαν, ζῶντες οὐκ ἀπὸ κτηνοτροφίας καὶ λῃστείας, ὡς οἱ πρότερον ἐξ ἔω ἐνταῦθα ἀφικνούμενοι λαοί, ἀλλ᾽ ἀπὸ χαλκείας, ἀπὸ χρυσοτριμμάτων, ἀπὸ ἡμιονοτροφίας, κοσκινοποιΐας, σηστροποιίας, σκαφοποιΐας, πτυοποιΐας, καὶ ἀπὸ ἄλλων παρομοίων ἔργων· οὐμὴν οὐδὲ κλοπὴ καὶ κτηνοκλοπὴ μάλιστα ἐστὶν αὐτοῖς ἀποτρόπαιον, οὐθ᾽ ἡ ἀνύπαρκτος ἐπιστήμη πρᾶγμ᾽ αὐτοῖς ἄγνωστον.*

*Πολλοῦ δὲ τοῦ λαοῦ καὶ ὑπὲρ τὴν ἱκανότητα τῆς χώρας τοῦ πλήθους ὄντος, πολλοὶ ἐς τὰ ἐνδότερα τῆς Εὐρώπης ἦλθον, καὶ δδογράμμασι παρὰ Σιγισμούνδου τοῦ αὐτοκράτορος ἐφοδιασθέντες, μέχρι Δαϋτζλὰνδ καὶ Ἰταλίας καὶ Φράνσης ἀφίκοντο· πολλοὶ δὲ καὶ ἐν τῇ λοιπῇ Ρουμουνίᾳ καὶ ἐν τῇ Μοαγγυορίᾳ κατέμειναν. Τῶν δὲ ἱδρυθέντων ἐν τῷ Ρουμουνικῷ ἀγρῷ καὶ ἐν τῇ Μολδόβῃ, μᾶλλον δέ, ὡς ἀγελαῖα πτηνά, περιφερομένων, τὸν ἑδραῖον ἀποστρεφομένων καὶ ἀποδιοπομπουμένων βίον, οἱ μὲν, κτῆμα των ἡγεμόνων εἰσίν· οἱ δέ,*

τῶν ἀρχόντων καὶ τῶν μοναστηρίων, δι' ἣν αἰτίαν οὐκ οἴδαμεν, συμπεραίνειν δὲ ῥᾴδιον ἐστίν· οὐ γὰρ ἐνταῦθα μόνον ὁ ἄνθρωπος, τὸ εὐγενέστερον δημιούργημα, ἰδιοκτησία ἀνθρώπου γέγονε. Καὶ οἱ μὲν ἄγριοί εἰσιν, ὅσοι τόπον ἐκ τόπου ἀμείβοντες, τὸν πλανήτην καὶ σκηνητικὸν μετέρχονται βίον, ζῶντες ὡς πρότερον, καὶ φόρον τοῖς δεσπόταις τιννύντες ἐτήσιον, πολλαχῶς τε, κατὰ τοὺς βίους καὶ τὸν τρόπον τοῦ ζῆν, ὀνομάζονται, ἐξ ὧν τινὲς καὶ διαλέκτῳ ἰδίᾳ χρῶνται, ἐν ᾗ ἑλληνικαὶ πολλαὶ λέξεις ἀκούονται· οἱ δὲ λεγόμενοι ἥμεροι, εἰσὶν ὅσοι παρὰ τοῖς δεσπόταις ὄντες, μαγειρεύειν, ὀψοποιεῖν, ἀρτοποιεῖν, πεμματοποιεῖν, σαροῦν, ἡνιοχεῖν, ἱππηλατεῖν, νήθειν, πλύνειν καὶ ταῖς λοιπαῖς τῶν οἰκιῶν ὑπηρεσίαις προσεδρεύειν καταναγκάζονται. Ἕτεροι πάλιν ἥμεροι, πόλεων καὶ κωμοπόλεων κάτοικοι, μουσικοί εἰσι καὶ μάγειροι καὶ ἡνίοχοι, τοῖς ἐτησίως μισθοῦν σφας βουλομένοις πρόχειροι, σιδηρεῖς τε καὶ ῥάπται καὶ ἑτέρας βαναύσους

*τέχνας μετερχόμενοι, καὶ τοῖς δεσπόταις αὐτῶν ἐτήσιόν τι, φόρον διδόασιν. Οι ἄγριοι ἀρκοῦσι τεταγμένον τι ἐτήσιον, οἷς ἀνήκουσι δεσπόταις καταβάλλοντες, ὅπερ οὐκ ὀλιγάκις ἀπὸ κλοπῆς αὐτοῖς προσγίνεται. Τρέφουσι δὲ ἐπὶ πράσει καὶ ἡμιόνους. δι' ἃς καὶ φορβάδων καὶ ἱπποθόρων ὄνων ἐπιμέλονται· καὶ ἐξαγωγὴ ἀπὸ τῆς κτηνοτροφίας ταύτης ἀξιόλογος πέραν τοῦ Ιστρου, μέχρι καὶ τῆς ἡμετέρας πατρίδος τοῦ Πηλίου ὄρους γίνεται. Μουσικοὶ ἐν τῷ Ρουμουνικῷ ἀγρῷ καὶ ἐν τῇ Μολδόβῃ, μόνοι εἰσὶν οἱ αἰγύπτιοι· ψάλλειν γὰρ μουσικὰ ὄργανα καὶ ἐντατὰ καὶ ἐμπνευστὰ, εἰσὶν ἐπιδέξιοι, καὶ μόνοι ἐν γάμων καὶ ἑορτῶν καὶ ἑτέρων τέρψεως χάριν διατριβῶν συμποσίοις ἢ συσσιτίοις, παῖκται ἐξ ἐπαγγέλματος τυγχάνουσι, καὶ τὸ τζιγγάνος συνωνυμόν ἐστι τρόπον τινὰ τῷ μουσικός· καὶ ἐν Κωνσταντινουπόλει οἱ ἄριστοι βιολοπαῖκται ῥουμουνικοὶ αἰγύπτιοι εἰσίν. Χρυσολογοῦσιν ἔτι καὶ νῦν οἱ ἄγριοι αἰγύπτιοι ἐν πάσῃ τῇ Ρουμουνίᾳ, καὶ οἴδασι πρὸ πάν-*

των, τρίβωνες ὄντες, ἐν τίσι ποταμοῖς καὶ τοῦ ποταμῶν, ἔνεστιν εὐχερῶς εὑρεῖν τὰ παρὰ τῶν ῥείθρων συσσυρόμενα καὶ συγκυλιόμενα χρυσοψήγματα, καὶ ποσότης τεταγμένη ἐκ τούτων τῶν χρυσοψηγμάτων τὸ ἐτήσιον ἀντὶ νομίσματος φορολόγημα, ὅπερ ἔν τε τῷ Ρουμουνικῷ ἀγρῷ καὶ ἐν τῇ Μολδόβῃ ταῖς δόμναις, ἤγουν ταῖς συζύγοις τῶν ἡγεμόνων ἀνήκει.

Οὐμὴν οὐδὲ τεράστια ποιεῖν ἀνίκανοι οἱ αἰγύπτιοι, αἱ αἰγύπτιαι μάλιστα· καὶ γὰρ καὶ διαβόλους ἐκ τῶν βαθυτάτων καὶ μυχαιτάτων τοῦ ᾅδου, ἀναγαγεῖν καὶ ὑπ' ὄψιν ἀναφανδὸν στῆσαι καὶ παραστῆσαι ἔχουσιν, ἐπῳδαῖς τισι μυστικωτάταις καὶ ἰσχυρωτάταις ἐπὶ τούτῳ χρώμεναι, αἷς ἀνάγκη πᾶσα τὸν ἄθλιον διάβολον, καὶ μὴ βουλόμενον, πείθεσθαι. Διὰ τῆς ἰσχυρᾶς ταύτης καὶ παντοδυνάμου ἐπιστήμης, οὐκ ἔστι κρυπτὸν καὶ ἄγνωστον ἀνθρώποις, ὃ δι' εὐτελὲς ἀργύριον φανερὸν οὐ γίνεται, ὡς ἐκ πυθικῆς τρίποδος ἀποφοιβαζόμενον. Τυχῶν ἀνακαλύψεις, προγνώσεις εὐτυχῶν

συζυγιῶν, καὶ ὅλως, ἑταιρειῶν, προῤῥήσεις μελλόντων· πάντα ταῦτα ῥᾷστα ταῖς αἰγυπτίοις ἀθύρματα. Αὗται τοίνυν καὶ μηδὲν ποιοῦσαι, ποιεῖν τι δι' αὐταπάτην οἴονται, ἢ δι' ἑτεραπάτην διισχυρίζονται· καὶ εἰσὶ πολλοὶ, οἳ καὶ μηδὲν βλέποντες, βλέπειν ὅμως ἡγοῦνται καὶ διατείνονται, λανθάνοντες πάντως ἑαυτοὺς τὰ τῆς νοσούσης αὐτῶν φαντασίας ἐκθοροῦντα γεννήματα, ὡς ὑπάρχοντα πρὸ ἑαυτῶν ὑπολαμβάνοντες καὶ ἐκλαμβάνοντες πράγματα. Ἀλλ' ὃ τῷ ὄντι θαύματος ἄξιον, τὸ ἐφεξῆς ἀναντιῤῥήτως τυγχάνει· νεκρότητα καὶ νεκροποιΐαν ἴσως, τινὲς τῶν αἰγυπτίων ἐπιτηδείως τεχνεύονται, ὅτε βούλονται, καὶ ὁ δοκῶν νεκρὸς, οὐδενὶ τοῦ ὄντος τῷ ὄντι νεκροῦ διενήνοχε, ἀπνοίας, ἀσφυξίας, ὠχρότητος, σημεῖα πασίδηλα νεκρότητος οὐσῶν, παρουσῶν· καὶ οὐδὲ τὸ ὠχρὸν ἀεὶ σημεῖον ἐστὶ θανάτου, οὐδὲ τὸ ἐρυθροῦν ζωῆς ἐνίοτε, τοῦ αἵματος ἐν ταῖς μυρίαις τριχαρτηρίαις μετὰ θάνατον ἐνίοτε μένοντος, ἀλλ' ὁ πολὺς ἄνθρωπος οὕτως οἴεται. Τοῦτο, εἰ

*ἀληθές ἐστιν, αὐτόματόν ἐστι τοῖς αἰγυπτίοις ἐντύχημα, ἢ πατροπαράδοτον κληρονόμημα παλαιότατον· εὕρεμα γὰρ ἀνθρώποις ἀμαθέσιν ὅλως καὶ ἀγραμμάτοις καίτοι εὐφυέσι καθόλου οὖσι, γενέσθαι φαντάπασιν ἀδύνατον οἰόμεθα, καί περ σοφοὺς ἀνθρώπους καὶ φιλοσόφους γίνεσθαι καὶ ἀγραμμάτους ἡγούμενοι. Ημεῖς μὲν οὖν οὐκ εἴδομεν τὸ πρᾶγμα, ετέρων δὲ, οὐχ ἁπλῶν ἀνθρώπων, διηγουμένων τοῦτο ἠκούσαμεν, καὶ ἐμνήσθημεν ἐνταῦθα, μὰ τὴν ἀλήθειαν, οὐκ ἀπιθάνων παντάπασι μεμνημένοι. Επειδὴ δὲ ἐνταῦθα αἰγυπτίων ἐμνήσθημεν ἐκ τῶν περικαυκασίων ὁρμηθέντων, τί κωλύει προσθεῖναι ἐνταῦθα τὸ τῷ νῷ παριστάμενον· καὶ δόξει μὲν ἴσως τὸ εἰρησόμενον πάντη ἀπίθανον, εἰρήσθω δ' ὅμως περιεργότερον.*

*Τὰ Καυκάσια ὄρη ἢ Κάσπια, ὡς οἱ ἐγχώριοι ἐκάλουν κατὰ τὸν Ερατοσθένη, τὰ πρὸς ἕω μὲν τοῦ εὐξείνου Πόντου, πρὸς δυσμὰς δὲ τῆς Κασπίας θαλάσσης κείμενα, καὶ διατειχίζοντα οὕτω τὸν ἀναμεταξὺ τῶν*

*δύο τούτων θαλασσῶν ἰσθμὸν, καὶ πολλοῖς καὶ μεγάλοις καὶ ὑψηλοῖς καὶ τραχέσι καὶ ὀξέσιν ὄρεσι διειλημμένα, ὑπὸ πολλῶν ἑτερογλώττων ἐθνῶν καὶ πάλαι καὶ νῦν κατῳκημένα οἴδαμεν. Πολλὰ δὲ καὶ παντοῖα ἔθνη ἐν ἑωϋτῷ ἔχει ὁ Καύκασος, φησὶν Ηρόδοτος. Συνέρχεσθαι δὲ, φησὶν ὁ Στράβων, ἐς τὴν Διοσκουριάδα, κειμένην ὑπὸ τὸν Καύκασον, ἐμπορίας χάριν, ἑβδομήκοντα, οἱ δὲ καὶ τριακόσια ἔθνη φασὶν, οἷς οὐδὲν τῶν ὄντων μέλει, πάντα δ' ἑτερόγλωσσά ἐστι, διὰ τὸ σποράδην καὶ ἀμίκτως οἰκεῖν. Θαύματος δὲ ἄξιον ὅτι καὶ νῦν οἱ τὴν περιήγησιν τῶν Καυκασίων ποιήσαντες σοφοὶ, συνῳδὰ τῷ γηραιῷ Ηροδότῳ καὶ τῷ Στράβωνι λέγουσιν. Ουδὲν μέρος τῆς γῆς ἴσμεν, φασὶν, ἐν τοσαύτῃ μικρᾷ ἐκτάσει, τοσαῦτα περικλείειν ἔθνη. Ουκοῦν καὶ πολὺ μεθ' ἡμᾶς, καὶ πολὺ πρὸ τοῦ Ηροδότου παραπλήσια τεκμαιρόμενοι τούτοις, οὐ μὰ τὴν ἀλήθειαν παράλογα καὶ ξένα τεκμαρούμεθα· οὐμὴν οὐδ' ἐσβολὰς τοσαύτας ἐν τοσούτῳ χρόνῳ καὶ πολλὰ*

πλείους, ἤ περ οἴδαμεν ἐκ τῆς ἑώας γενομένας, καὶ καταφυγὰς εἰς τὰ φύξιμα τῶν Κασπίων ἡγούμενοι, ὑπερβολὰς ἡγησόμεθα. Αἴτιον δὲ τῆς ἐθνανομοιότητος ταύτης πρὸς ταῖς παντοίων ἐθνῶν καταφυγαῖς, τὸ δυσεπίμικτον μὲν, διὰ τὸ τραχὺ καὶ δύσβατον τῆς χώρας, πρὸς ἀλλήλους τῶν κατοίκων, δυσεκβίαστον δὲ ὑπὸ τῶν ἔξω ἐπιδρομαῖς, καὶ λεηλασίαις καὶ κατακτήσεσι, διὰ τὸ δυσπρόσιτον καὶ δυσείσβολον. Αβαζοὺς ἔτι καὶ νῦν οἴδαμεν ὑπὸ μεγάλων καὶ δυνατῶν ἐθνῶν περικυκλωμένους, θρησκείαν, γλῶσσαν, πολειτείαν καὶ ἤθη καὶ ἔθιμα θαυμαστέα, ἐκ πολλῶν πάντως ἑκατονταετηρίδων διασώζοντας.

Ἐπεὶ δὲ προϊὼν ὁ λόγος, ἀβαζῶν παλαιᾶς λέξεως ὀνόματος παλαιοῦ ἔθνους μνησθῆναι ἐποίησε, φέρε δὴ παρεκβάντες ὀλίγον τῆς σειρᾶς τοῦ λόγου, εἴπωμεν, ἃ πρὸ ἓξ ἤδη ἐνιαυτῶν ἐπυθόμεθα τινὸς ὁμοεθνοῦς, οὐκ ἰδιώτου οὐδ᾽ ἁπλοῦ, μὰ τὴν ἀλήθειαν ἀνθρώπου, πολλάκις εἰς Αβαζίαν, ἐμπορίας χάριν πλεύσαντος. Τυλανίζω,

*ἔλεγεν ὁ ἀδελφὸς τοῦ περιφήμου Μουρὰτ μπέη τοῦ ἐν Αἰγύπτῳ οὐ πάνυ πρώην πρωτεύοντος, ὁ ἐπ᾿ ὤμων κομισάμενος ἐς τὸν λιμένα τὸ φορτίον αὐτοῦ ἐς ἀνταλλαγὴν ἔλατος καὶ ἄλλων μικρῶν ἐργαλείων, καὶ μηδενίγε τρόπῳ καταλείπειν τὴν Ἀβαζίαν βουλόμενος, καὶ ἐς Αἴγυπτον παρὰ τῷ ἀδελφῷ μετοικῆσαι, καὶ μάλα προσκαλούμενος. Ταλανίζω, λέγω, ἔλεγε τῷ ἀνωτέρω γραικῷ τὸν ἐμαυτοῦ ἀδελφὸν, ὃν πάντες ἀλλαχοῦ μακαρίζουσι, καὶ τὸν ἀβαζικὸν βίον καὶ τὴν Ἀβαζίαν Αἰγύπτου πάσης οὐκ ἀνταλλάττομαι. Εἰπέμοι, φίλε, κατὰ τί ὁ ἐμὸς ἀδελφὸς ὁ ἐν Αἰγύπτῳ πρωτεύων τυγχάνει ἐμοῦ εὐτυχέστερος; ὅτι πολλὴν χρυσὸν ἔχει, καὶ ἀδάμαντας, καὶ ἄνθρακας καὶ τοπάζια καὶ πολυτελῆ ἱμάτια, καὶ τὴν λοιπὴν μικρολογίαν, καὶ ποικιλίαν ἐδεσμάτων, ἐν τῇ τραπέζῃ, καὶ πλῆθος ἵππων; Ἀλλ᾿ οὐκ εἰμι ἐγὼ ἐκείνου πολὺ εὐτυχέστερος, ὁ μηδενὸς τούτων δεόμενος, καὶ τοῦ πρώτου τῶν ἐν ἀνθρώποις ἀγαθῶν τῆς ὑγείας εὐπορῶν, ἐκείνου καὶ ταύτην*

τοῖς ποικίλοις καὶ πολυτελέσιν ἐδέσμασι καὶ ἱματίοις ἀπολέσαντος, καὶ καθ' ἑκάστην παντοδαποῖς φαρμάκοις ἀνακαλεῖν ματαίως πειρωμένου; Ουκ εἰμι ἐγὼ μυριάκις εὐδαιμονέστερος καὶ μακαριώτερος, ὁ τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις ἀρκούμενος, καὶ ἔχων ταῦτα, ἀρεσκόμενος, καὶ ὑπηρετῶν καὶ ἵππων, τὸ σύνολον, ἀφροντιστῶν, καὶ τὰ ποικίλα ἐδέσματα καὶ τὸ ἀλλοτρίοις χρῆσθαι ποσὶν ἐς κίνησιν, ὡς ὑπορύττοντα τὴν ὑγιᾶ κατάστασιν τοῦ σώματος, καὶ ὅλως ἀνατρέποντα, ἀποστρεφόμενος, ὁ ὑπ' οὐδενὸς ἐπιβουλευόμενος, μηδένα φοβούμενος, μηδένα ὑπονοῶν, μηδένα ὑποπτεύων, μηδενός μοι ὑπὲρ κεφαλὴν κακοῦ ἀπῃωρημένου, ἐκείνου, ὅς ὑπὸ μυρίων ἐπιβουλεύεται, μυρίους, ἀκμὴν καὶ τοὺς ἰδίους ὑπηρέτας ὑποπτεύει, καὶ ἐς διατριβὴν ἐκ τῶν αὐτοῦ ἀρχείων ἐξελαύνων, οὐκ οἶδεν εἰ πάλιν οἴκαδε ἑσπέρας ἐπανακάμψειε, φάσγανον ὁ ἄθλιος καὶ τρισάθλιος ὑπὲρ τῆς κεφαλῆς ὁσημέραι ἀπὸ λεπτοτάτης τριχὸς κρεμάμενον ὁρῶν; Ευτυχία αὐ-

τη καὶ μακαριότης ἐστὶν ὦ φίλε; Καὐτὸς οὐκ ἂν ἀνόητος πάντη πάντως καὶ παράφρων εἴην, εἰ βουληθείην ποτέ ἐκεῖσε πορεύεσθαι; Εκεῖνον δεῖ ἐς τὴν πατρίδα ἐπανελθεῖν σωφρονοῦντα, ἀλλ' ὑπὸ τρυφῆς διεφθαρμένος τὸν νοῦν παντάπασιν, εὖ οἶδ' ὅτι οὐκ ἄν ποτε ἐθελήσειεν. Ειχε γὰρ ἂν ἐνταῦθα γενόμενος καὶ τὴν ὑγείαν, ἧς ἄνευ οἰκτρὰ πᾶντα ἐν κόσμῳ, ἀναλαβεῖν, ἀναπνεύσας τὸν πάτριον ἀέρα καὶ καθαρὸν, καὶ μακάριος τῷ ὄντι γενέσθαι. Ταῦτα ὁ ἀβαζὸς πρὸς τὸν γραικὸν ἔλεγε, ταῦτα καὶ ἡμεῖς αὐτοῦ πυθόμενοι ἐξεπλάγημεν. Τοιοῦτοι οἱ ἀβαζοὶ, οὕς τινες βαρβάρους καὶ παντάπασιν ἀγρίους οἴονται. Ποῖον δὲ καὶ τὸ πολίτευμα αὐτῶν, καὶ πῶς ἐν ἑαυτοῖς ἐμποροῦονται; Απλᾶ πᾶντα παρ' αὐτοῖς· χρηματισμὸν καὶ καπηλείαν οὐκ οἴδασιν, οὐδ' εἰδέναι Βούλονται. Μεταδίδωσιν ὧν ἔχει ἕκαστος τῷ ἑτέρῳ, καὶ μεταλαμβάνει παρ' ἐκείνου, ὧν χρῄζει, καὶ τὸ ἀργύριον οὕτως περιττὸν καὶ ἄχρηστον· τὸ ἀργύριον, ὅπερ τὰ πᾶντα πανταχοῦ,

ἐν εὐθεῖ λόγῳ τῆς πληθύος, ἐς τὸ χεῖρον μεταβάλλει καὶ διαφθείρει, καὶ θορύβου καὶ ταραχῆς καὶ δολιότητος ἐμπίπλησι. Δειπνοῦσι πάντες ἐκ περιόδου παρ' ἑκάστῳ. Εισὶ παρ' αὐτοῖς πρῶτοι συνοικίας· ὀνόμασον αὐτοὺς ἀγοὺς, ἡγεμόνας ἢ ὅπως ἂν βούλῃ, οὓς ὡς πατέρας αὐτῶν οἱ ἀβαζοὶ θεωροῦσι, καὶ οὗτοι πάλιν ὡς παῖδας ἰδίους αὐτοὺς νομίζουσι, καὶ εἴτις ἐπίθεσις ἔξωθεν, οἱ ἡγεμόνες τηνικαῦτα φροντίζουσι, καὶ ὁ λαὸς πείθεται αὐτοῖς ἐπιτάττουσι· καὶ τῆς ὑπακοῆς ταύτης πλέον οὐδὲν τοῖς πρώτοις παρὰ τοῦ λαοῦ. Υἱὸς τινὸς πρώτου οὐ νυμφέυεται θηγατέρα τινὸς τῶν, ὧν ὁ πατὴρ ἐστι πρῶτος, ἐν ἀδελφῆς λόγῳ ταύτην τιθέμενος, καὶ ὁ γάμος ἑπομένως παράνομος.

Επεὶ οὖν τὰ Καυκάσια ὄρη, ὡς φωλεὸν πολυχρόνιον καὶ ἀκίνδυνον καὶ ἀσφαλῆ πολλῶν καὶ διαφόρων ἐθνῶν βλέπομεν, καὶ φύξιμον ἄριστον τόπον ἐπηρεαζομένοις ἐνίοτε γινόμενον ἡγούμεθα, οὐδὲν ξένον, καὶ μεταστάσεις ἐνίοτε ἐντεῦθεν,

*δι' ὁποιασοῦν αἰτίας, συμβαίνειν οἴεσθαι. Ἴσως καὶ οἱ τὰ ἑῷα τῆς Περσίας νεμόμενοι αὐγανοὶ, ἐντεῦθεν πολὺ πρότερον ἐς ἕω μετανέστησαν· ὁμόγλωττοι γάρ εἰσιν, ὡς λέγουσι, τοῖς τὰ μεσημβρινὰ τῶν Καυκασίων οἰκοῦσι γεωργοῖς, ὧν ἡ χώρα καὶ ἐπὶ Στράβωνος καλῶς ᾠκεῖτο τὸ πλέον πολεσίτε καὶ ἐποικίοις, ὥστε καὶ κεραμωτὰς εἶναι στέγας καὶ ἀρχιτεκτονικὴν τὴν τῶν οἰκήσεων κατασκευήν. Ἔτι δὲ καὶ οἱ Αἰγύπτιοι οὗτοι, οὓς γύφτους καλεῖν εἰώθαμεν, ἀπὸ τῶν Καυκασίων ἐξορμηθέντες, ὥς φασιν, ἐνταῦθα ἐς τὴν Ρουμουνίαν ἀφικοντο· καί εἰσὶν ἔτι καὶ νῦν ἐκεῖ που ἀθιγγάνοι καλούμενοι, λείψανα πάντως, ὥςπερ καὶ γεωργοὶ ἀφγανῶν, τῶν ἐς Ρουμουνίαν ἀγεληδὸν ἐλθόντων, καὶ τῆς ἐκ Καυκασίων ἀπάρσεως ἀπόδειξις. Μήποτε οὖν οἱ αἰγύπτιοι οὗτοι ἦσαν ποτὲ ἓν τῶν τοῦ Στράβωνος ἑβδομήκοντα ἐθνῶν, καὶ τῶν τοῦ Ηροδότου κόλχων ἀπόγονοι, διὰ τὰς ἐν τῷ μακρῷ χρόνῳ συχνάκις τῷ κόσμῳ ἐπισυμβαινούσας μεταβολὰς, ἑτέροις ἐπερ-*

*χομένοις ἐνδόντες, καὶ τὰ εὐπρόσιτα μὲν καὶ εὐείσβολα ὑποχωρήσαντες, εἰς δὲ τὰ δυσπρόσιτα καὶ δυσείσβολα καὶ ἐρυμνότερα τοῦ ὄρους καταφυγόντες, καὶ ἐκεῖ πολὺν χρόνον ἐνδιαιτηθέντες, ἐκεῖθεν πάλιν μεταναστάντες καὶ τὰ παρίστρια καταλαβόντες; Ιδοὺ περὶ τούτων τί φησιν ὁ πατὴρ τῆς σωζομένης ἱστορίας, ὁ καὶ εἰς τὴν Αἴγυπτον καὶ εἰς τὴν Κολχικὴν ἀφικόμενος.*

*Φαίνονται μὲν ἐόντες οἱ κόλχοι αἰγύπτιοι, νοήσας δὲ πρότερον αὐτὸς ἢ ἀκούσας λέγω. Ὡς δέμοι ἐν φροντίδι ἐγένετο, ἠρόμην ἀμφοτέρους, καὶ μᾶλλον οἱ κόλχοι ἐμεμνέατο τῶν αἰγυπτίων, ἢ οἱ αἰγύπτιοι τῶν κόλχων. Νομίζειν δὲ ἔφασαν οἱ αἰγύπτιοι τῆς Σεζώστριος στρατιῆς εἶναι τοὺς κόλχους. Αὐτὸς δὲ εἴκασα τῇδε, ὅτι μελάγχροοί εἰσι καὶ οὐλότριχες· καὶ τοῦτο μὲν ἐς οὐδὲν ἀνήκει· εἰσὶ γὰρ καὶ ἕτεροι τοιοῦτοι· ἀλλὰ τοῖσί δε μᾶλλον, ὅτι μοῦνοι πάντων ἀνθρώπων κόλχοι καὶ αἰγύπτιοι καὶ αἰθίοπες περιτάμνονται ἀπ᾽ ἀρχῆς τὰ αἰδοῖα. Φέρε δὴ καὶ ἄλλο εἴπω περὶ*

τῶν κόλχων, ὡς αἰγυπτίοις προσφερέες εἰσί. Λῖνον μοῦνοι οὗτοι καὶ αἰγύπτιοι ἐργάζονται κατὰ ταὐτὰ, καὶ ἡ ζόη πᾶσα καὶ ἡ γλῶσσα ἐμφερής ἐστιν ἀλλήλοισι. Μή ποτε οὖν οἱ αἰγύπτιοι οὗτοι κόλχων ἀπόγονοι εἰσίν; Ουκ ἀποφαινόμενοι ταῦτα λέγομεν, ἀλλὰ διαποροῦντες καὶ πυνθανόμενοι. Περίφημα τὰ λινουργεῖα τῶν κόλχων ἦσαν, φησὶν ὁ Στράβων.

Αλλὰ φεῦ! οἷα τὰ ἀνθρώπινα! τῆς τύχης ἄντικρυς γελοῖα ἀθύρματα, καὶ οἰκαρχίαι ὅλαι, καὶ φυλαὶ ὅλαι, καὶ ἔθνη ὅλα, κομμάτια ἐν θεάτρῳ παριστώμενα, τὰ εἶναί τι νομιζόμενα, τὰ ἐν πολλῷ τῷ λόγῳ, καὶ ἐν δέλτοις διαιωνιζόυσαις τάχα τιθέμενα. Οι αἰγύπτιοι! οἱ περικλεεῖς αἰγύπτιοι! οἱ διὰ σοφίαν καὶ εὐνομίαν καὶ δύναμιν καὶ μεγαλουργίαν θαυμαζόμενοι αἰγύπτιοι! τὸ πρῶτον ποτὲ τῆς οἰκουμένοις ἔθνος, ὅτε οἱ κάτοικοι τῆς ἡμετέρας Ευρώπης, μικροῦ δεῖν, ἐν δρυμοῖς καὶ ὄρεσι, κτηνῶν δίκην, βαλανοῤῥιζοφαγοῦντες ἐνδιῃτῶντο! Οι αἰγύπτιοι, οἱ πα-

τέρες τῶν ἑλλήνων κατὰ τὰς τέχνας, τὰς ἐπιστήμας, τὴν εὐνομίαν, καὶ οἱ πάπποι τῶν λοιπῶν εὐρωπαίων! νῦν δὲ οἱ ταπεινότατοι πάντων καὶ μικροῦ δεῖν, τοῖς ὑποζυγίοις συναριθμούμενοι! Οια τὰ ἀνθρώπινα! οἷοι δὲ καὶ οἱ ἄνθρωποι! οἷαι δὲ καὶ αἱ μεταβολαὶ, αἷς ἀφεύκτως ὑπόκεινται! Καὶ ἐι κύκλος τὰ ἀνθρώπινα, παπαὶ φίλε, οἷα τοὺς ἀπογόνους ἡμῶν περιμένει δεινά!

## Εδαφος Ρουμουνίας.

Τὸ ἔδαφος τῆς Ρουμουνίας, οὔ μὲν ὁμαλὸν, οὔ δὲ ἀνώμαλον ἐστίν· ἀπὸ μὲν γὰρ Σεγιδὶν ἐν δεξιᾷ τοῦ Τισσοῦ κειμένης μοαγγυορικῆς πόλεως, μέχρι Λογγοσσίου, πεδιὰς ἀναπεπταμένη, καὶ οὐδαμοῦ χρεία σύρεσθαι ποιεῖν τὸ ὄχημα τοῖς ἐλαύνουσι, ἁλύσει ἢ κάλῳ ἢ στήμονι κυλίεσθαι ἑνὸς τροχοῦ ἢ καὶ δύω κωλυομένων, ὥσπερ καὶ ἀπὸ Βιέννης μέχρι τῆς αὐτῆς πόλεως· καὶ γὰρ καὶ ἀπὸ Βιέννης μέχρι τῶν ὁρίων τῆς Μοαγγυορίας πεδιάδες ἀνώμαλοι ἢ τόποι

ἀναπεπταμέναι, ἐν διαστήματι δέκα ὡρῶν περίπου, δ' ἐστιν ἐγκεκλιμέναι πως κατὰ τὸ ὅλον, καὶ κατὰ μέρος ἀνωμαλίας ταπεινὰς ἔχουσαι, καὶ οὐ κείμεναι ὡς ἡ θαλασσικὴ ἐπιφάνεια. Ἱκόμενοι δ' ἐνταῦθα διὰ στενοῦ πεδίου ἠλαύνομεν, ἀκρωραχίας ἑκατέρωθεν ὑπερκειμένης· καὶ ἐν δεξιᾷ μὲν φρούριον μικρὸν ὑπερκείμενον ἑωρῶμεν, ἐν ἀριστερᾷ δὲ καὶ οὐ πάνυτοι πλησίον, τὸ Ποζοὺν, πόλιν Μοαγγυορίας, κειμένην ἐν τῇ ἀκρωραχίᾳ καὶ ὑπερκειμένην ἀχανοῦς καὶ ἐξαισίας καὶ μεγαλοπρεπεστάτης πεδιάδος, ἐς ἣν, ὡς διὰ πύλης μεγάλης, τοῦ στενοῦ καὶ συνεσφιγμένου διελαύνοντες πεδίου, εἰσελάσαμεν· καὶ ἐδόκει ἡμῖν ἄλλοτε τηλικαύτας πεδιάδας τὸ μέγεθος μὴ ἑωρακέναι, καὶ διὰ τοῦτο ζωηρότερον τῇ αἰσθήσει διατεθεῖσι, ὡς ὠκεανὸς γῆς ἡ προκειμένη πεδιὰς ὑπήντα, ἣ θαύματος πάντως ἐμπίπλησι τὸν μὴ ἀπεριέργως τόπους παραμειβόμενον. Πεδιάς ἐστιν ἐκτεινομένη μέχρι Λογγοσσίου, καὶ ὡς ἑτέρων ἠκούσαμεν αὐτοπτῶν, πεδιάς ἐστι καὶ με-

χρι Μπρὸδ, καὶ ἕως ἐς Πελεγράδιον, καὶ ἀπὸ Πέστης μέχρι Δέμπρετζιν, κἀκεῖθεν μέχρις Ἀρδελίου, ἐξαιρουμένων λόφων τινῶν καὶ λοφοραχιῶν μικρῶν, ὡς ἐν Μπούδιμ, ὅπου τὰ Βασίλεια τῶν βασιλέων τῶν μοαγγύρων ἐπὶ λόφου ὁρῶνται, σποράδην που κειμένων καὶ ἀπονενησωμένων, ὡς ἐν μεγάλῳ πελάγει νησία, ἐπὶ τῆς πεδιάδος ὁρωμένων.

Διελάσασι δὲ τὸ Λογγὸς, ἡ πεδιὰς ἀνωμαλίζεσθαι ἤρχετο, καὶ προβαίνουσι, καὶ ὄρη ἤρχετο φαίνεσθαι, καὶ προχωρήσασιν ἱκανῶς τῇ ὑστεραίᾳ, καὶ τὸ εἰρημένον τῆς Κασσόβης ὑπήντησεν ἅπαντες. Ποῖον δὲ τὸ Ἀρδέλιον ἤδη εἴρηται· πεδία στεφόμενα ῥάχεσι, ἢ ῥάχεις πεδίοις ἀπ' ἀλλήλων ὁριζόμεναι. Πεδιὰς δὲ καὶ τὸ μεσημβρινὸν τοῦ Ρουμουνικοῦ ἀγροῦ, ἀπὸ ἄκρας σχεδὸν ἐς ἄκραν, καὶ αὐτόπται ταύτης ἐγενόμεθα, διελάσαντες αὐτὴν ἀπὸ Γκιουργκιόβου μέχρι Φοξὰν, καὶ μέχρι σχεδὸν Τεκοῦτζ πεδιάς ἐστι. Τὰ περὶ Κραϊόβην πόλιν ἀνώμαλα, ὡς ἑτέρων ἠκού-

σαμεν, καὶ γεωλοφίαις ἢ γεωραχίαις διακόπτεται ἡ χώρα, καὶ τοῖς ἐλαύνουσιν ὁδοιπόροις σύρεσθαι πολλάκις ἀνάγκη τὸ ὄχημα, ἐκτὸς εἰμὴ διὰ κοιλάδων ἡ ὁδὸς εἴη. Πεδιὰς δὲ καὶ ἀπὸ Φοξὰν μέχρι Μπραΐλης· ἔπειτα γεωλοφίαι καὶ γεωραχίαι ἀπαντῶσι μέχρι Γαλὰτζ καὶ μέχρις Ες· καθόλου γὰρ ἡ Μολδόβα ἐξ ἀνωμάλων τόπων συνίσταται. Πεδιὰς δὲ διὰ μέγεθος ἀξιόλογος ἐστὶν, ἡ ἀπὸ Μπακοέου καὶ πέραν ἔτι Μπακοέου ἀρχομένη, καὶ ἐς Ρώμανον καθήκουσα, καὶ ἐπέκεινα μέχρι Σιρέτου, πολὺ μεῖζον τὸ μῆκος τοῦ πλάτους ἔχουσα. Εισὶ δὲ καὶ ὀροπέδια ἢ ῥαχιπέδια καὶ λοφοπέδια, καὶ περὶ τοὺς ποταμοὺς, ἔστιν οὗ, καὶ ἀγκοπέδια εὐμορφότατα, τῶν ποταμῶν καὶ τοῦ χρόνου ἔργον τυγχάνοντα ἀναμφίβολον, ὅπερ καὶ ἐν ἑτέροις τόποις παρατετήρηται.

Ἀπὸ δὲ τοῦ Ες μέχρι Κισσινέου, τῆς ὑπερπρουτίου νῦν Μολδόβης ἢ Βασσαραβίας μητροπόλεως, ὁ τόπος ἀνώμαλός ἐστι καὶ ἐν μέσῃ ὁδῷ ἀναμαλώτερος, καὶ συ-

νηρεφοῦς γεωρυχίας ὑπέρβασις, καὶ ὑπὸ τὴν γεωραχίαν ἐξ ἔω, ἡ πηγὴ τοῦ Μπύκου ῥύακος ἐστί. Ἐντεῦθεν ἡ ὁδὸς εἰς Κισσινέου ὁμαλὴ παρὰ τὸν ῥύακα ἐν κοιλάδι. Πρὶν δ' ἀφικέσθαι εἰς Κισσινέου περὶ ὥραν που, πλατύνεται ἡ κοιλὰς καὶ πεδίον μικρὸν γίνεται· εἶτα συγκλείονται σχεδὸν αἱ ῥάχεις, ὥςπερ χειροποιήτως πως, ἐῶσαι τῷ Μπύκῳ μόνον διάβασιν. Τοιοῦτόντι καὶ παρὰ Ορχέϊ ἡμῖν ὦπται, ἑτέρωθι δὲ οὐδαμοῦ· καὶ ἔστι τῷ ὄντι τὸ πρᾶγμα τοῖς περιεργότερον τὴν φύσιν θεωροῦσιν, ἀξιοθέατον. Κέϊ Μπύκουλουϊ καὶ Κέϊ Ρέουτουλουϊ τὰ μέρη ῥουμουνιστὶ ὀνομάζονται, ὅ ἐστι, κλεὶς Μπύκου καὶ κλεὶς Ρεούτου. Μικρὸν περαιτέρω, πορευομένῳ εἰς Κισσινέου ἐν ἀριστερᾷ, τριάκοντα ὀργυιὰς περί που, σειρὰ στρομβωδῶν ὀργυιαίων πετρῶν, τρεῖς που ἢ τέσσαρας ὀργυιὰς, ἀλλήλων ἀφιστάμενων, κατ' εὐθεῖαν κειμένων γραμμήν. Μικρὸν ἀνωτέρω· ἠπίως γὰρ ἄναντες τὸ μέρος· ἐν τῷ μέσῳ τῆς πετρογραμμῆς ταύτης καὶ ἴχνη μεγάλου λό-

φου ὁρῶνται· ἀργοί εἰσιν οἱ λίθοι, μέγεθος ἔχοντες ἕκαστοι, ὡς μηδ' ἂν ἀρχὴν κινηθῆναι τὸν μικρότατον ὑπὸ ζεύγους ἡμιόνων, ἵνα καὶ ἡμεῖς κατὰ τὸν Παυσανίαν εἴπωμεν, κυκλώπειόν τι ἔργον διηγούμενον. Πάντως κυκλόπειον τοῦτο τὸ ἔργον, καὶ τεθαμμένῳ τινὶ κιμμερίων βασιλεῖ ὑπὸ τὸν λόφον ἴσως πεποίηται. Μέμνηται τούτου καὶ Καντεμίρης. Ἀπὸ δὲ Κισσινέου μέχρι Μπεντὲρ, περί ὀκτὼ ὥρας Κισσινέου απέχοντος, ὁ τύπος ἀνώμαλος καθόλου, ἡ ὁδὸς ὁμαλὴ ἐν δεξιᾷ τοῦ ῥύακος Μπύκου, σταθμοὶ τρεῖς, καὶ πλησίον τοῦ δουτέρου, γεωραχίας ὑπέρβασις οὐ μακρά· ἔπειτα ὁ δυύτερος σταθμὸς παρὰ τὸν Μπύκον, ὃν διαβάντι, ἄναντες ἱκανὸν, καὶ ἡ ὁδὸς μετὰ ταῦτα δι' ὡραιοτάτης ὁριζοντικῆς μικρᾶς πεδιάδος, καὶ κάταντες ἤπιον ἔπειτα μέχρι τῆς μικρᾶς πεδιάδος, ἐν ᾗ τὸ Μπενδὲρ μέγα φρούριον, ἐπὶ τοῦ δεξιοῦ χείλους τοῦ τύρα ἔκτισται· καὶ περὶ τρεῖς που ἢ τέσσαρας ὀργυιὰς τῆς ἐπιφανείας τοῦ ποταμοῦ ὑπερκείμενον.

*Γεωραχίαι δὲ, γυμναὶ ἐκ περιστάσεως, οὗ μὲν δύο ὥρας, οὗ δὲ μίαν ἀφεστηκυῖαι τοῦ φρουρίου, στεφανοῦσι πανταχόθεν τὴν μικρὰν πεδιάδα, ἐκτὸς τοῦ πρὸς ἕω καὶ πέραν τοῦ ποταμοῦ, ἀναπεπταμένου τόπου τυγχάνοντος, ποιοῦσι τὸν τόπον ἀξιοθέατον. Ἀπὸ τοῦ Μπενδὲρ αὖθις μέχρι Καουσσιὰν, ὁ τόπος ὑπανώμαλος, καὶ ἡ ὁδὸς ἠπίως ἀνάντης ἐν τῇ προειρημένῃ ῥάχει· ἔπειτα ὁμαλὴ ἐν κεκλιμένοις πεδίοις.*

*Τὸ Καουσσιὰν ἐν συγκεκλεισμένῃ κοιλάδι κεῖται, καὶ ὁ Τύρας πλημμυρῶν, μέχρι τετάρτου ὥρας κάτωθεν αὐτοῦ ἀφικνεῖται. Ἐντεῦθεν ὁ τόπος ὑπανώμαλος μέχρι τῶν παρατυρίων κωμῶν ὑπὸ γεωχθίας πλαγίας κειμένων, καὶ ἡ ὁδὸς ὑπὸ ταύτας, ἐς δεξιὰν τρέπεται, πανταχοῦ εὐέλατος, καίτοι καὶ ἅπαξ ἢ δὶς ἀναβαίνειν πλαγίως ἢ καταβαίνειν δέον. Ἀφικομένῳ δὲ εἰς τὴν παρὰ Τύραν πρώτην κώμην, ἐντεῦθεν ἡ ὁδὸς, ἐν τῷ κάτω μὲν τῆς πλαγίας γεωχθίας ἐστὶν, ὁμαλὴ δὲ, ὥστε καὶ ἀπὸ ρυτῆρος ἐλαύνειν, οὐδεὶς ὁ κίνδυνος. Καθόλου δὲ*

ἀπὸ Μπενδὲρ μέχρις Ἀκερμὰν τοιαύτη ἡ ὁδὸς ἐστίν. Ἀφικομένῳ δὲ εἰς τὸν πρῶτον τῇ ὄψει λόφον, ὃς καὶ τῷ μεγέθει πρῶτός ἐστι, Τόδορα ὀνομαζόμενον, ἀπὸ κώμης οὐ πολὺ κάτω αὐτοῦ Τόδορα καὶ αὐτῆς ὀνομαζομένης, ὁ τόπος ἠνέωγε, ἡ θέα ὡραιοτάτη, τὰ πέριξ ἀναπεπταμένοι τύποι, ἡ ὄψις ἐπὶ πολὺ διήκει, μάλα τρυφηλῶς, καὶ μέχρις Ἀκερμὰν καὶ ἐπέκεινα, καίτοι πέντε ὡρῶν καὶ ἐπέκεινα τοῦ ἀποστήματος ὄντος. Ου πολὺ δὲ πρὸς μέσην ἡμέραν περὶ ἡμίσειαν ὥραν περίπου ὁ μυχός ἐστι τοῦ κόλπου, ὃν ὁ Πόντος καὶ ὁ Τύρας ποιοῦσι μιγνύμενοι, καὶ ἐπὶ τοῦ λόφου ἢ ὑπὸ τὸν λόφον ὄντι, ὁ κόλπος ὅλος ἀναπέπταται ὑπ᾽ ὄψιν, καὶ τὴν ὡραίαν θέαν ὡραιωτέραν ἀπεργάζεται. Εντεῦθεν μέχρις Ἀκερμανίου ὁ τόπος ἀναπεπταμένος ἐστὶ, πεδία ἐγκεκλιμένα ὀλίγον, ἡ ὁδὸς ὁμαλή. Κατωτέρω τοῦ λόφου, περὶ ἡμίσειαν ὥραν, καὶ πύργος ὁρᾶται, φρούριον πρότερον τυγχάνων· καὶ κώμη ἔτι, Παλάνκα ὀνομαζομένη, ὥσπερ καὶ ὁ πύργος

καὶ ἀγορὰ ἦν ἐνταῦθα πρότερον, καὶ διάβασις εἰς τὰ πέραν τοῦ Τύρα.

Ἀπὸ δὲ Κισσινέου μέχρις Ορχέϊ, ἀνώμαλος ὁ τόπος, καὶ πρὸς δυσμὰς τοῦ Ορχέϊ ἀνοίγεται· ἔπειτα πάλιν ἀνώμαλος μέχρις τῆς Μπέλτζ κωμοπόλεως, ὅπου ὁ τόπος ἀναπεπταμένος. Μετὰ ταῦτα πάλιν ἀνώμαλος καὶ συγκεκλεισμένος γεωλοφίαις καὶ γεωραχίαις· καὶ καθόλου, μέχρι τῶν ὁρίων τῆς Πόλσκης ὁ τόπος ἀνώμαλος, ἐκτὸς τινῶν μερῶν, ὅπου ἀναπεπταμένος ἐστὶν, ὥςπερ ἐν τῇ ἄκρῃ τοῦ ὑπονομοῦ τοῦ Ες, ὅπου τὸ Τζίχορον ῥύαξ ὁρίζει τοῦτον ἀπὸ τοῦ ὑπονομοῦ τοῦ Χοτὶν· ἐνταῦθα γὰρ ἠνέωκται ὁ τόπος· κἀντεῦθεν πορευομένῳ ἐς τὴν νέαν Σίλιτζαν ἐν ἀριστερᾷ τοῦ Προύτου, πεδίον ἐστὶν ἱκανὸν τὸ μῆκος, καὶ τὸ πλάτος ὀλίγον ἔχον. Εν τῷ ὑπονομῷ τοῦ Χοτίν· ἄξιον γὰρ καὶ τοῦτο περιεργείας· οἱ ῥύακες, οὓς ἐπεράσαμεν, διελαύνοντες ἀπὸ Τζιχόρου ἐς νέαν Σίλιτζαν, ὥσπερ οἱ ἐν ὀρεινῇ εἰσι, διειδὲς καὶ ῥέον ἔχοντες τὸ ὕδωρ, καὶ οὐ διὰ δονάκων καὶ

ἐπὶ βορβορώδους ἐδάφους. Τῆς δὲ Γαλίτζης, πορευομένῳ τινὶ εἰς Λιὸβ διὰ τῆς ἐς Μπρὸδ ἀγούσης, καθόλου ἧττον ἀνώμαλος ὁ τόπος τῆς Μολδόβης, καὶ τὰ ὑπαντώμενα ἀναπεπταμένα μέρη συχνότερα, καὶ ἡ ἀνωμαλία ἑτεροία τῆς τῆς Μολδόβης· ἐνταῦθα μὲν γὰρ ἐκ γεωραχιῶν τὰ πολλὰ ἡ ἀνωμαλία, ἐκεῖ δὲ ἐκ γεωλοφιῶν, ἢ βουνῶν. Ἀπὸ δὲ Λιὸβ πορευομένῳ ἐς τὸ Κέντ, πεδιὰς ἀνώμαλος ὁ τόπος, ἢ ἀναπεπταμένος ὥσε ἐπὶ πολὺ διήκειν τὴν ὅρασιν, ὅπερ ἐν ὁριζοντικαῖς πεδιάσιν οὐ συμβαίνει, ἀλλὰ καθάπερ ἐν μετεώρῳ πελάγει, ὀρέων μὴ ὄντων πλησίον, αἱ ἀκτῖνες οὐκ ἐπὶ πολὺ τέτανται, ὅπερ ἔντισι μέρεσι τῆς Σιλεζίας παρετηρήσαμεν, οὐ πόῤῥω τοῦ Πρεσλὰβ, ὅπερ καὶ αὐτὸ ἐν ὁριζοντικῇ πεδιάδι κεῖται. Πλησιάζοντι δὲ τῷ Κρακὸβ, ὁ τόπος ἀνωμαλίζεται, καὶ συχνὰ τὰ βουνὰ· παραγενομένῳ δὲ οὐ μακρὰν τοῦ Κέντ, ἐξομαλίζεται πάλιν ὁ τόπος, καὶ πορευομένῳ ἀπὸ τοῦ Κὲντ εἰς Πρεσλὰβ, καθόλου εἰπεῖν, ὁ τόπος ἀναπεπταμένος, ἔστιν οὗ καὶ

πεδιάδες ὁριζοντικαὶ ὥραται. Ἀπὸ δὲ τῶν ὁρίων τῆς Σιλεζίας μέχρι Λειψίας, ὁ τόπος ὑπανώμαλος ἐστί· πλησιάζοντι δὲ τῇ Λειψίᾳ ἀναπεπταμένος ὁ τόπος. Ἔστι δὲ καὶ ἀπὸ τοῦ Κέντ μέχρι Βιέννης καθόλου ὁ τόπος ἀνώμαλος, κἀκεῖθεν μέχρι τῶν ὁρίων τῆς Μπαβιέρας· ὅταν ἐνταῦθα πεδιὰς ὑπαντᾷ πορευομένῳ εἰς Ρεγενσμπούργ· Κἀντοῦθεν καθόλου λέγειν, ἀνωμαλίζεται ὁ τόπος καὶ μέχρις Ἀμστερδάμ, κἀκεῖθεν μέχρι Παρισίου τὰ πολλὰ ἀνώμαλος μᾶλλον ἢ ἧττον, ἐκτὸς ἐν Βελγίῳ ὅπου οἱ ἀναπεπταμένοι τόποι καὶ τὰ πεδία συχνότερα, καὶ ἀπὸ Παρισίου μέχρι Βιέννης πεδιάδες ἡ τῆς Σιαμπάνιας καὶ ἡ περὶ τὸ Μύνχεν. εἰσὶ διὰ τὸ μέγεθος ἀξιόλογοι, ἀλλὰ καὶ τούτων τὸ μέγεθος τῷ τῶν Μοαγγροβίας καὶ Ρουμουνίας παραβαλλόμενον, μικρὸν πάντως δόξει τῷ παραβάλλοντι. Τὰ ἑῷα τῆς Βασσαραβίας ὑπανώμαλα εἰσι, τὰ δὲ δυτικὰ πεδιὰς, ὥσπερ ἑτέρων πυνθανόμενοι ἠκούσαμεν· ἄδενδρός τε πάντη ἡ χώρα, καίτοι εὔγειος καὶ πίειρα οὖσα, καὶ πολ-

λὴν καὶ πίονα φύουσα πόαν, καὶ κτηνοβότειρα μᾶλλον τῆς Μολδόβης. Ησαν ποτὲ καὶ δρυμοὶ, καὶ νῦν ἔτι τὰ ἴχνη αὐτῶν ὁρῶνται ἔν τισι μέρεσι. Ερωτῶντες δὲ ἠκούσαμεν ὅτι καὶ ἀπὸ Μόσχης μέχρι Λιὸβ καὶ μέχρι Καζανίου, γεωλοφίαις καὶ γεωραχίαις συχναῖς τὸ ἔδαφος διακόπτεται· καὶ ἀπὸ Μόσχης μέχρις Ρουμουνίας ἀεὶ κατάβασις. Μήποτε οὖν καὶ πᾶσα ἡ ἐπιφάνεια τοῦ ἡμετέρου πλανήτου, ὥςπερ γραὸς, ἐσχημάτισται καὶ μεμόρφωται ῥυσσὸν πρόσωπον;

## Παρατήρησις.

Εκ Μπούδιμ καὶ Πέστης πόλεων ἐπὶ τῶν ὀχθῶν τοῦ Δανουβίου ἀντικειμένων ἀλλήλαις, καὶ ἰσοϋψῶν τῷ Δέμπρετζιν καὶ Ες, καὶ μίαν ἂν ἄνευ τούτου ποιουμένων, καὶ μητρόπολις τῆς Ευρώπης φαινομένων, διὰ τὴν θέσιν καὶ τὴν ἀχανῆ καὶ εὔφορον πεδιάδα, καὶ τὸν μεσοῤῥοοῦντα μέγιστον τῆς Ευρώπης ποταμὸν, καὶ τὰς ἐξ αὐτοῦ πολιτικὰς καὶ στρατιωτικὰς καὶ οἰκιακὰς

ὠφελείας· ἐκ ταύτης τῆς πόλεως, λέγω, ἀπάραντες, καὶ διαβάντες, παρὰ τὸ Σεγεδὶν, τὸν Τισσὸν, εἴδομεν ἐν πρώτοις ἐντὸς τοῦ ποταμοῦ χειροποιήτους λόφους, οἵους ἐν Μολδόβῃ πολλάκις ἐβλέπομεν. Τοιοῦτοι λόφοι εἰσὶν ἴσως καὶ ἐν Μοαγγυορίᾳ, ἀλλ' ἡμεῖς διελαύνοντες οὐχ ἑωράκαμεν. Τούτους τοὺς λόπους ᾠόμεθά ποτε, ἐπὶ τῷ βλέπειν τὴν νέαν σελήνην τοὺς παλαιοὺς πεποιηκέναι· ἀναγινώσκουσι δ' ἡμῖν νεωστὶ τὸν Ηρόδοτον ἐκ δευτέρου, μεταβαλεῖν δόξαν ἔδει, καὶ ὡς τάφους ἢ μαυσωλεῖα τῶν σκυθῶν βασιλέων ἢ φυλάρχων οἰόμεθα, τούτους τοὺς λόφους τοὺς πολλῶν ἄλλων μαυσωλείων, εὐτελεστέρους μὲν καὶ ἁπλουστέρους, ἐκ πολλοῦ δὲ διαρκεστέρους, καὶ σκυθικῆς ματαιότητος, μᾶλλον δὲ ἐσχάτης ἐκ δεισιδαιμονίας βαρβαρότητος ὑπομνήματα· αἱ γὰρ πλεῖους ἐν κόσμῳ βαρβαρότητες ἐκ δεισιδαιμονίας εἰσέφρησαν· καὶ Καραΐβοι καὶ ἄλλοι λαοὶ, φιλόξενοι ἄλλως ὄντες καὶ φιλάνθρωποι, ὠπτημένους κατεβίβρωσκον τοὺς αἰχμαλώτους

χρηστηρίοις πειθόμενοι. Λόφους δὲ εἴδομεν οὐ πανταχοῦ τῆς Μολδόβης· περὶ γὰρ τὸ Ες οὐδεὶς ὁρᾶται, οὐδὲ μέχρι Κισσινέου· περὶ δὲ ταύτην τὴν πόλιν ἓξ ἢ ἑπτά που ὁρῶνται· καὶ πρὸς δυσμὰς τοῦ Ορχεϊ καὶ περὶ Μπέλτζ κωμοπόλεων, παρομοίως· καὶ διαβαίνοντες τὸ Τζίχωρον ῥύακα, ἠριθμήσαμεν πάλιν ἕξ που, οὐ πολὺ καὶ τούτους ἀλλήλων ἀπέχοντας. Πλείους δὲ παραμείβοντες τὸν Τόδορα μέγαν λόφον εἴδομεν ἐν Βασσαραβίᾳ· ἀπὸ γὰρ τοῦ αὐτοῦ τόπου τρισκαίδεκα ἠριθμήσαμεν. Σποράδην δὲ σπανίως εἴδομεν λόφους δύω που ἢ τρεῖς. Απὸ δὲ Τζιαρναοὺτζ μέχρι Λιὸβ ἕνα μόνον ἢ δύο εἴδομεν. Οδὲ Τόδορα, ὥσπερ καὶ ὁ πολυθρύλλητος ἐν δεξιᾷ τοῦ Προύτου Μοϊλα ραμπόϊα, πάντως μεγάλου τινὸς βασιλέως ταφόχωμα δοκεῖ εἶναι· Ιδοὺ ἃ καὶ περὶ τῶν λόφων ὁ πατὴρ τῆς ἱστορίας φησίν.

Επεάν σφι ἀποθάνῃ ὁ βασιλεὺς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον· ἑτοῖμον δὲ τοῦτο ποιήσαντες, ἀναλαμβάνουσι

τὸν νεκρὸν κατακεκηρωμένον τὸ σῶμα, τὴν δὲ νηδὺν ἀνασχισθεῖσαν καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου, καὶ θυμιήματος, καὶ σελήνου σπέρματος καὶ ἀνήθου συνεῤῥαμένην ὀπίσω· καὶ κομίζουσιν ἐς ἄλλο ἔθνος· οἱ δ' ἂν παραδέξωνται κομισθέντα τὸν νεκρὸν, ποιεῦσι τάπερ οἱ Βασιλήϊοι σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περικείρονται, βραχίωνας περιτάμνονται, μέτωπον καὶ ῥίνα καταμύσσονται, διάτε τῆς ἀριστερῆς χερὸς ὀϊστοὺς διαβυνέονται. Εντεῦθεν δὲ διακομίζουσι τὸν νέκυν τοῦ Βασιλέως ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι· οἱ δέ σφι ἕπονται εἰς τοὺς πρότερον ἦλθον. Επεὰν δὲ πάντα περιέλθωσι, τὸν νέκυν κομίζοντες, καὶ ἔπειτα, ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ στιβάδος, παραπήξαντας αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ, ξύλα ὑπερτείνουσι, καὶ ἔπειτα ῥιψὶ καταστεγάζουσι. Ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς θήκης, τῶν παλλακέωντε μίαν ἀποπνίξαντες θάπτουσι, καὶ τὸν οἰνοχόον καὶ μάγειρον, καὶ

*ἱπποκόμον καὶ διηκόνον, καὶ ἀγγελιαφόρων καὶ ἵππους, καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς, καὶ φιάλας χρυσέας, ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέονται. Ταῦτα δὲ ποιήσαντες, χόουσι πάντες χῶμα μέγα, ἀμιλλώμενοι καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι. Ενιαυτοῦ δέ περιφερομένου, λαβόντες τῶν λοιπῶν θεραπόντων τοὺς ἐπιτηδεωτάτους σκύθας ἐγγενέας· ἀργυρώνητοι δέ οὔκ εἰσι σφίσι θεράποντες..... Αλλ' ἀπάνθρωποι ἄγαν αἱ πράξεις διηγήσασθαι, καὶ παύσωμεν τὸν Ηρόδοτον λέγοντα, ἄλλως τε καὶ τοῦ ἐφεξῆς λόγου μηδὲν ἐς τὴν πρόθεσιν συμβάλλοντος.*

*Ταῦτα μὲν οὖν Ηρόδοτος περὶ λόφων ἱστορεῖ, καὶ ἀνενέγκαι τινὰ τὴν ἀρχὴν τῶν νῦν ὁρωμένων τοῖς τότε χρόνοις καὶ ταῖς τότε περιστάσεσι, λόγου ἔχεται καὶ ὀρθῆς συμπεράνσεως. Ου πρὸ πολλοῦ τῶν κτηματικῶν τις Μολδοβάνων κτίσασθαι βουλόμενος ἐκκλησίαν ἐν τόπῳ, ὅπου λόφος τις τῶν τοιούτων ἐπισεσώρευτο καὶ ἐπικέχωτο, ἐργάτας ἐπὶ τῷ ἀνασκάψαι καὶ ὑφε-*

λεῖν τὸν λόφον ἐπέστησε, καὶ ἐξομαλίσαι οὕτω τὸ δάπεδον τῆς οἰκοδομηθησομένης ἐκκλησίας. Ηδη δὲ τῶν σκαφέων τὸ ἔργον περαινόντων, νεανικώτερον κρούσας τις ἐξ αὐτῶν τοῖς ποσὶ τὴν γῆν, ἀντίτυπον οἰόμενος, ἐς βάθος ἐσέδυ, τῶν ὑπερτεθέντων ξύλων τοῦ ὀρύγματος σεσηπότων τῷ χρόνῳ καὶ βίᾳ ἐνδόντων, ἢ ὡς ὁ ἀγρώνης ἡμῖν διηγήσατο, ὑετοῦ ἐπισυμβάντος, καὶ τρύπης ὑπὸ τοῦ ὕδατος γενομένης καὶ τῇ δι᾽ αὐτῆς τοῦ ὕδατος ἐσροῇ, κοίλου κενοῦ ὑποκάτωθεν ὑπονοηθέντος, ἀνέσκαψον βαθύτερον. Επιθυμοῦσι δὲ μανθάνειν ἀκριβῶς καὶ τὰς διαστάσεις τοῦ ὀρύγματος, καὶ εἰ τὰ ξύλα διασῴζοιντο, καὶ εἰ ὀστᾶ ἐν τῷ ὀρύγματι εἶεν, φιάλας χρυσᾶς οὐ λέγομεν, ὡς περιττοῦ καὶ ἀδιακρίτου τοῦ ἐρωτήματος, τοῦτο ἡμῖν ἐρωτῶσι περιεργότερον οἱ ἐρωτώμενοι ἀπεκρίναντο, ὅτι σωρὸς ὀστῶν ἀνθρωπείων ὑπὲρ τοῦ ὀρύγματος ἐπὶ τῶν σεσηπότων στημόνων, καὶ ἐν τῷ ὀρύγματι ὁρῷτο, καὶ ὅτι τὰ ἐν τῷ ὀρύγματι ὀστᾶ ἐξέχοντός τινος εἶεν τῷ γένει, ταῖς τῶν φα-

λάγγων μήκεσι διακρινόμενα· λόγος γὰρ πατροπαράδοτός ἐστι παρὰ τοῖς ῥουμούνοις, ὅτι οἱ ἐξέχοντες τῷ γένει, μακροτέρας τῶν λοιπῶν ἀνθρώπων τὰς τῶν δακτύλων φάλαγγας ἔχουσιν. Ησαν δὲ ἔτι ἐν τῷ ὀρύγματι καὶ πήλινα ἀγγεῖα, οὓς λύχνους ὠνόμαζον. Ημεῖς μὲν οὖν βουλοίμεθ' ἂν, ἁψάμενοι τοῦ ἔργου, ἀνασκάψασθαι τινὰ λόφον, καὶ μαθεῖν ἰδόντας αὐτοψεὶ οὕτω καὶ τὰς διαστάσεις, καὶ τοὺς στήμονας καὶ τὰ ὀστᾶ καὶ ὅ,τι ἕτερον εἴη ἐν τῷ ὀρύγματι· ἀλλὰ κινεῖν τὰ πρὸ πολλοῦ ἀκίνητα, καὶ ἀνασκάπτειν τὰ παλαιόθεν ἄσκαπτα μένοντα, καὶ ἐς ἔργον οὕτω φέρειν τὰ βεβουλευμένα, οὐ παντὶ καὶ πανταχοῦ γῆς καὶ χρόνου ῥάδιον.

Πρὸ τεσσάρων που ἐνιαυτῶν ἐν τῷ ὑπονομῷ τοῦ Δοροχοόϊ παιδάρια ὑπὸ παρόμοιον λόφον ἀθύροντα, καὶ τὴν γῆν ἀνακινοῦντα, ὥσπερ εἰώθασιν, εὑρίσκειν ἤξαντο ἀργύρου, καὶ χρυσοῦ ἴσως, κέρματα. Τὰ μὲν οὖν παιδάρια, ὡς παιδάρια, οὐδὲν ἕτερον βαθύτερον ὑπενόησαν· ὁ δὲ

κτηματικὸς τοῦ ἀγροῦ ἰδὼν τῷ νῷ βαθύτερον, ἀργυρίου τε καὶ χρυσίου θησαυρὸν ὑπετόπασε, ὥσπερ πῦρ καπνῷ, τοῖς εἰρημένοις κέρμασι, τὸ κατορωρυγμένον πρᾶγμα τεκμαιρόμενος. Ανασκαπτομένου οὖν τοῦ τόπου βαθύτερον, εὑρέθησαν λέβης ἢ κακκάβη, καὶ κάλπη ἀργυρᾶ, μετὰ γλυμμάτων καὶ γραμμάτων ἑλληνικῶν, καὶ στέφανος χρυσοῦς καὶ ὄφις ἀνθράκινα ἔχων ὄμματα, ἅπαντα εὖ μάλα καὶ κομψῶς ἐξειργασμένα. Ην δὲ τὸ βάρος, τοῦ μὲν ἀργύρου, ἑξηκονταλιτραῖον καὶ ἐπέκεινα· τοῦ δὲ χρυσοῦ, ὑπὲρ τὰς δώδεκα λίτρας, ὡς αὐτὸς οὗτος ὁ κτηματικὸς διηγεῖτό μοι. Αλλὰ ταῦτα μόνον εὕρηται; ἴσως καὶ ἕτερ᾽ ἄττα· ἀλλὰ τῶν τοιούτων ἀκριβῆ ἀναγγελίαν περιμένειν, μὰ δίαγε, οὐ νουνεχὲς, καὶ ἀνερευνῶντα ἐρωτᾷν περιεργότερον, μὰ δίαγε, οὐδ᾽ αὐτὸ μεγάλη νουνέχεια. Ταῦτα τὰ εὑρεθέντα προσηνέχθησαν τῷ αὐτοκράτορι Αλεξάνδρῳ, καὶ ἔστι νῦν ἐν τῇ Πετρουπόλει ἰδεῖν ταῦτα τοῖς φίλοις τῆς ἀρχαιότητος.

Εν τῷ Ρουμουνικῷ ἀγρῷ, ἀντικρὺ Σιστοβίου παριστρίας πόλεως, ἡγεμονεύοντος τοῦ Ἀλεξάνδρου Μορούζη, κωμῆται τινὲς ἀνασκάπτοντες τάφον τινὰ παλαιὸν· ἦν δέ ποτε ὁ τάφος ὡς ἔοικεν ὑπὸ χειροποίητον λόφον ἢ χῶμα· ηὗρον χρυσῆν φιάλην. Φωραθέντες δὲ σκάπτοντες, κρύψαι τὸ εὕρημα οὐκ ἠδυνήθησαν· καὶ φανερὸν γενόμενον, ἐκομίσθη τῷ ἡγεμόνι Ἀλεξάνδρῳ, καὶ οὗτος ἔπεμψεν τῷ σουλτάνῳ τῶν τούρκων. Ειλκεν ἡ χρυσῆ φιάλη σταθμευθεῖσα ἐν τοῖς ἡγεμονείοις, τετρακόσια δράμια τουρκικά, περίπου τὰς τρεῖ λίτρας· σχῆμα δὲ εἶχε κωνοειδὲς, κάτωθεν μὲν κατὰ τὸν πάτον στενωτέρα, ἄνωθεν δὲ κατὰ τὰ χείλη πλατυτέρα ὑπάρχουσα. Προσετίθη μοι ὁ ἰδὼν αὐτὴν καὶ ἐν χερσὶ λαβὼν, ὅτι ὑπέτρεμε σαλευομένη· ἴσως ἔνδοσις ἦν τὸ τοιοῦτον ἐκ καθαροῦ παντάπασι χρυσοῦ τυγχάνουσα, καὶ οὐκ ἐλαστικότης, τοῦ χρυσοῦ μαλακὸν σῶμα τυγχάνοντος. Ου πρὸ πολλοῦ πάλιν, περὶ τὸ Κισσινέου, οὐ πόῤῥω, ἀνασκαφέντος τινὸς τόπου, ὅπου

λόφος ἦν πρότερον, εὑρέθησαν πολλὰ ὀστᾶ ἀνθρώπεια καὶ κρανίον ἵππειον. Ουκ ἦν ἄρα σκυθικὴ ἡ φιάλη ἐφ᾿ ᾧ ἔχεν τὸν ταφέντα σκυθίζειν καὶ μετὰ θάνατον, καὶ τὰ ὀστᾶ τὰ ἀνθρώπεια καὶ τὸ κρανίον τὸ ἵππειον οὐκ ἦν ἄρα τῶν ἐπισφαγέντων ἐς τὴν ἐν τοῖς σκυθικοῖς ἠλυσίοις ὑπηρεσίαν τοῦ ζῆν ἐνταῦθα ὑπὲρ γῆς παύσαντος;

## Ορυκτὰ Ρουμουνίας.

Η ὀρενὴ τῆς Ρουμουνίας εὐπορεῖ πολλῶν καὶ παντοίων μετάλλων· καὶ χρυσὸς ἤδη καὶ πρὸ τοῦ Ηροδότου ἐμεταλλέυτο· πολύχρυσοι γάρ, αὐτός φησιν, οἱ ἀγάθυρσοι, καὶ ἀλλαχοῦ, πρὸς ἄρκτον τῆς Ευρώπης πολλῷ τοι πλεῖστος χρυσὸς φαίνεται ἐών. Η ἄρκτος τοῦ Ηροδότου τὰ Καρπάθια ἀναμφιβόλως τυγχάνει. Ην δὲ ἴσως ἐν τοῖς πάλαι χρόνοις, ὥσπερ καὶ ἐν τῇ Κολομβικῇ, οὐ πάνυ πρώην, ῥάδιον τὸν χρυσὸν ἐπιπόλαιον ἢ ὀλίγῳ ὑπὸ γῆν ὄντα εὑρίσκειν, καὶ μεταλλευτικῆς οὐκ ἀπείρους οἰητέον τοὺς τότε ἀνθρώπους εἶναι, ὑπὸ

φιλαυτίας τὸ πᾶν ἑαυτοῖς ἢ τοῖς προσήκουσιν ἡμῖν τῷ χρόνῳ ἀπονέμοντας· οὐδὲ γὰρ μεῖζον καὶ δυσχερέστερόν ἐστιν ἡ τοῦ χρυσοῦ ἀνακάθαρσις τῆς τοῦ κασσιτέρου, ἀλλὰ καὶ οὗτος ὑπὸ τῶν, οὓς ἡμεῖς βαρβάρους καλοῦμεν καὶ ζῆν κτηνῶν δίκην οἰόμεθα, ἐμεταλλεύετο καὶ ἐς τὴν Ελλάδα ἐφοίτα, ἐκ τῶν ἐν τῇ Βαιτικῇ περιωνύμων τὸ πάλαι Γαδείρων, τῶν πρὸ Ομήρου κτισθέντων, καὶ μέγα ἐμπορεῖον τῶν φοινίκων ὄντων. Τὸ δὲ ἤλεκτρον διὰ πλοίων σκανδιναβικῶν καμπτόντων τὴν ἄκραν τῆς Κιμβρικῆς χερσονήσου ἐς τὰ παράλια μέρη τοῦ Δαϋτζλὰνδ ἢ καὶ μεσημβρινώτερον, κἀκεῖθεν ἢ διὰ τῶν αὐτῶν, ἢ διὰ τῶν φοινίκων ἐκεῖ αἰτούμενον, ἐς τὰ Γάδειρα μετεκομίζετο· οὐμὴν ἀλλὰ καὶ ἐς τὸν μυχὸν τοῦ ἀδριατικοῦ πολὺ παλαιότερον ἢ δοκεῖ τισιν, ἐν τοῖς τοῦ μύθου χρόνοις, ἐκομίζετο· τὰ γὰρ μυθολογούμενα περὶ τοῦ ἠλέκτρου ἐν τούτῳ τῷ τόπῳ, τοιοῦτόν τι ἀναντιῤῥήτως δηλοῖν ἐοίκασιν, καὶ οὐδεῖ ἐᾷν, ὡς δοκεῖ Στράβωνι, τὰ παλαιὰ τῶν μυθευομέ-

νων, ἢ ἄλλως κατεψευσμένων, οἷον τὰ περὶ Φαέθοντα καὶ ἡλιάδας, τὰς ἀπαιγειρουμένας κατὰ τὸν Ηριδανὸν, τὸν μηδαμοῦ γῆς ὄντα, πλησίον δὲ τοῦ Πάδου λεγόμενον, καὶ τὰς ἠλεκτρίδας νήσους, τὰς πρὸ τοῦ Πάδου, καὶ μελεαγρίδας ἐν αὐταῖς· οὐδὲν γὰρ τούτων ἐστὶν ἰδεῖν ἐν τοῖς τόποις. Ουμενουν οὐδὲ ναυτικῆς ἀπείρους τοὺς πάλαι σκανδιναβοὺς οἰητέον εἶναι, οὐδὲ περιμένειν δεῖ περιαυτονοίᾳ, ταύτην ἐκ τῶν μεσημβρινῶν ἡμῶν ἐκείνοις γενέσθαι μάθημα. Ισως πρὸ τῆς ἐσβολῆς τῶν ἔξ ἔω βαρβάρων, τῶν κιμμερίων, λέγω, τὰ τῶν σκανδιναβῶν κρείττω ἦν παρὰ πολὺ καὶ λαμπρότερα, ἤ περ ἐν τοῖς μετ' ἐκείνους χρόνοις. Αγαθῇ τύχῃ τῆς ἱστορίας καὶ νῦν ἔτι ὁρῶμεν ἐξ ἐκείνων τῶν μερῶν τόν τε κασσίτερον καὶ τὸ ἤλεκτρον φοιτῶντα· ἄλλως γὰρ ἂν, μῦθοι καὶ πλάσματα λογοποιῶν ἀνθρώπων τὰ περὶ τούτων ἔδοξεν. Ειδὲ καὶ οἱ πάλαι σκανδιναβοὶ οὐκ ἔκτιζον, ὡς ἀθάνατοι ἐσόμενοι, ὡς περὶ τῶν ἀκραγαντί-

νων ἔλεγον· τοῦτο φρονήσεως μᾶλλον σημεῖον ἢ βαρβαρότητος. Τί γὰρ, ἐπειδὴ ἕτεροι σωρηδὸν ἀλλεπάλληλοι δυσοικοῦσι, καὶ συνοικίας ἐπὶ συνοικιῶν, μὰ δίαγε, οὐ φρονίμως, οὐδὲ ὑγιῶς, οὐδὲ καθαρῶς αἱροῦνται, φήσομεν διὰ τοῦτο τοὺς ἑτεροίως οἰκοῦντας καὶ ἁπλῶς διαιτουμένους, βαρβάρους καὶ τῆς εὐοικίας ὅλως μηδεμίαν ἔννοιαν ὀρθὴν ἔχοντας; Ἀλλ' οὕτω κάκιστα κρίνομεν, καὶ ἀφιλαυτότερον καὶ λογικώτερον θεωρήσαντες τὸ πρᾶγμα, κινδυνεύσομεν ἡμεῖς αὐτοὶ εἶναι τοῦτο, ὅπερ ἑτέρων παρὰ πάντα λόγον καὶ ἀδίκως κατηγοροῦμεν. Ουκοῦν καὶ οἱ ἀβαζοὶ οὕτω βάρβαροι, καὶ οἱ κύρτοι καὶ τόσοι ἄλλοι· ἐπειδὴ οὐχ ὡς πίθηκοι ἡμᾶς μιμούμενοι, ἀλλὰ τῷ ὀρθῷ λόγῳ μᾶλλον ἑπόμενοι, βιοῦν ἐθέλουσι. Ταῦτα, μὰ τὴν ἀλήθειαν, οὐ πεπαιδευμένων ἀνδρῶν καὶ εὖ συλλογιζομένων φρονήματα. Οιων κακῶν, καὶ οἵας ἀκοσμίας, τὰ περιφανῆ καὶ ἀθάνατα καὶ κοσμεῖν τὸν κόσμον δοκοῦντα κτίσματα, αὐτὸν τοῦτον ἐμπιπλᾶσι τὸν κόσμον.

Πρὸς δὲ τῷ χρυσῷ τὰ ὄρη τῆς Ρουμουνίας ἔχει καὶ ἄργυρον, σίδηρον, χαλκοῦν, ὑδράργυρον, μόλυβδον, μεταλλικὰ ὕδατα, ἤλεκτρον, χάλκανθον, ἀλάβαστρον, γύψον, ὀρυκτὰ ἅλατα τοσαῦτα, ὥστε ἱκανὴν εἶναι τὴν Ρουμουνίαν χορηγεῖν πάσῃ τῇ Εὐρώπῃ τὸ πολυτίμητον αὐτὸ ὀρυκτόν. Ταῦτα πάντα μεταλλεύεται ἐν τῇ ἐστραϊχικῇ Ρουμουνίᾳ, καὶ ἐν τῷ 1770 ἐκόπησαν, κατὰ τὸν Μπίσσενγ, ἐν τῷ ἀργυροκοπείῳ τοῦ Πελεγραδ χρυσία, καὶ ἀργύρια καὶ χαλκία τὴν ἀξίαν περὶ τὰς διακοσίας μυριάδας φιορινίων. Ἐστι δὲ χρυσοκοπεῖον καὶ ἐν τῇ Μπάϊᾳ μάρε. Ἐν δὲ τῇ τυρκικῇ Ρουμουνίᾳ οὐδὲν μεταλλεύεται πλὴν τῶν ὀρυκτῶν ἁλάτων, ὧν λατομουμένων ἐν βάθει πολλῶν ὀργυιῶν καὶ, ὥςπερ λίθοι μεγάλοι, ὑποζυγίοις ἀπὸ τροχηλίας ἀνιμωμένων, μεγάλη ἐξαγωγὴ γίνεται ἐς τὰ πέραν τοῦ Τύρα καὶ Ἴστρου, καὶ ἐς Κωνσταντινούπολιν διὰ Γαλάτζ. Σπάνιον πέτραν ἰδεῖν ἐν Ρουμουνίᾳ, πλὴν ἐν τοῖς ὄρεσι, ἀλλὰ καὶ ταῦτα γεώραχίαι τὰ πλεῖ-

στα. Ταύτῃ τοι καὶ κτίζουσι, καθόλου, οἱ κάτοικοι τὰς οἰκίας, ἔν τε Μπουκουρὲστ καὶ Ες, καὶ ἐν ταῖς λοιπαῖς πόλεσι καὶ ἐν ταῖς κωμοπόλεσι, πλίνθοις κεραμείαις, καὶ ξύλοις τινές. Σπανιώτεροι δὲ οἱ ἐς ὁδοστρωσίαν λίθοι· ὅθεν καὶ αἱ ἀγυιαὶ τῶν πρωτευουσῶν πόλεων τῆς ἑώας καὶ μεσημβρινῆς Ρουμουνίας, δοκοῖς μόνον ἔστρωνται, καὶ οὐ πᾶσαι. Ταύτῃ τοι καὶ καθόλου, αἵτε κατὰ πόλεις καὶ κατὰ κωμοπόλεις καὶ αἱ κατὰ χώραν ὁδοὶ, δυσδιάβατοι καὶ δυσέλατοι θέρους ἐν ὑετοῖς, καὶ χειμῶνος, ὅτε ὁ κρυμὸς μέτριος ὢν, ἱκανὸς οὐκ ἔστι, τὸν παχὺν πηλὸν καὶ τοὺς παχυτέρους βορβόρους, ἀποπῆξαι καὶ πρὸς καιρὸν ἀπολιθῶσαι. Ην μὲν ἂν ἴσως καὶ πέτρας ἐς ὁδοστρωσίαν ἔχειν, ἀλλὰ τὸ πᾶν ἀμελεῖται ἐνταῦθα. Περὶ μίαν ὥραν καὶ ἡμίσειαν ἐν τοῖς πέριξ τοῦ Ες εἰσὶ λατόμια, ἀλλ' οἱ λατομούμενοι λίθοι ἀφυεῖς πάντῃ ἐς ὁδοστρωσίαν, μαλακοὶ καὶ εὔθραυστοι ὄντες. Οι λίθοι οὗτοι πάντες εἰσὶ κογχοσυγκρίματα ἢ ἀμμοσυγκρίματα.

Ἀλλὰ περὶ ὥρας ὀκτὼ πρὸς βόρειόν πως τοῦ Ἐς παρὰ τὴν κωμόπολιν Χυρλέου, λατόμιόν ἐστι λίθων κογχοσυγκριμάτων μὲν, σκληρῶν δὲ καὶ δυσθραύστων ὥσπερ τὰ τῆς Ἑλλάδος μάρμαρα. Εὔχρηστοι οὗτοι οἱ λίθοι ἐς ἄλετον, καὶ μύλαι μονόλιθοι πολλαὶ ἐξάγονται ἐντεῦθεν ἐς τὰ πέριξ, μόνου τούτου μυλιτῶν λίθων λατομίου ἐν τοῖςδε τοῖς μέρεσι τυγχάνοντος. Ἔντισι μέρεσιν ὑπὲρ Προῦτον σωροὺς ὅλους ἰδεῖν ἐστι κογχῶν θαλασσίων ὁλοκλήρων, καταλειφθεισῶν τρόπον τινὰ οὐ πρὸ πολλοῦ χρόνου ὑπὸ τῶν ἐν αὐτοῖς φωλευόντων ζωδαρίων, ἐν αἷς καὶ Ἄμμωνος κέρατα εἰσίν. Ἴχνη ταῦτα ἐστὶ τῶν ἐπικλυζόντων ποτὲ τὸν τόπων ὑδάτων.

Περὶ τὴν κωμόπολιν Σορόκαν πολύ ἐστι τὸ εἶδος τῆς πέτρας, ἣν οἱ χυμικοὶ χαλικογῆν ὀνομάζουσι, καὶ ἐν τῷ δαπέδῳ τοῦ παραῤῥέοντος Τύρα, ὅπερ λιθαρίων ἐστὶ κατάστρωτον. Αὕτη ἐστὶν ἡ γῆ, ἐξ ἧς διὰ σφοδροτάτου πυρὸς τακείσης, ἡ ὕελος γίνεται· τήκεται δὲ τόσον τάχιον, ὅσον

πλείων πότασσα ἢ σόδα αὐτῇ ἐπιμίγνυται· καὶ τόσον δυστηκτοτέρα, ὅσον τὸ ἀλκαλίον ἔλασσον· ἀλλ' ὅσον ἔλασσον τὸ ἀλκαλίον, ἤγουν ἡ πότασσα ἢ ἡ σόδα, τοσοῦτον στερεωτέρα καὶ διαφανεστέρα ἡ ὕελος, καὶ διαφανεστάτη ἡ παντάπασι καθαροτάτη. Εστιν ἡ γῆ αὕτη καὶ τὰ ἐξ αὐτῆς ἀγγεῖα, πλὴν τοῦ φλουορικοῦ ὀξέος, τοῖς ἄλλοις ἀνέπαφος. Εν τοῖς βορείοις τοῖς Μολδόβης εὑρέθησαν ἐλεφάντεια ὀστᾶ πολλὰ ἀπολελιθωμένα, καὶ ἁμάξας ὅλας πεφορτισμένας τούτοις ἔπεμψαν ἐς Βιένναν, καὶ φίλος ἡμῖν σιαγόνος μέρος παρόμοιον, ἕλκον πολλὰς λίτρας ὑπὲρ τὰς ἑπτὰ, ἐδωρήσατο. Σημεῖα καὶ ταῦτα τῶν φοβερῶν μεταβολῶν. Εστι δὲ καὶ γύψος πολὺς ἐν τῷ ὑπονομῷ τῆς Κιάτρας· ἡ δὲ τίτανος διὰ τὰς οἰκοδομὰς, ἐκ τῶν διεσπαρμένων λιθαρίων ἐν ποταμοῖς καὶ ἐν ἄλλοις μέρεσι, ἔτι δὲ καὶ ἐκ πώρου γίνεται. Οτι δὲ καὶ ἠλέκτρου εὐπορεῖ ἡ χώρα, τεκμαίρεσθαί ἔχομεν ἐξ ὧν εἴδομεν καὶ ἠκούσαμεν. Εν τῷ ποταμῷ Μποζέου εὑρέθη κομμάτον ἠλέ-

κτρου, συμπαρασυρὲν πάντως τοῖς λιθαρίοις, καὶ ἐδόθη δῶρον ἄρχοντί τινι τῶν ἐν Μπουκουρὲστ, ὅςτις ἐξ αὐτοῦ ἀκροκαπνοσωλήνιον κατεσκευάσατο. Ευρέθη δὲ καὶ ἐν τῷ Σιρέτῃ ἠλέκτρου κομμάτιον, ἐξ οὗ δύο ἀκροζώνια ἢ περονίδες κατεσκευάσθησαν, ὧν ἑκάτερον μέγεθος κολφωρολογίου εἶχε, καὶ σχῆμα ἐλλειψοειδὲς ἤγουν στρογγυλόμηκες, καὶ χρῶμμα βαθύτερον τοῦ τῆς Προυσσίας.

## Φυτὰ Ρουμουνίας, καὶ ζῶα ἥμερα.

Βαθύγειος καὶ εὔγειός ἐστιν ἐκτόπως ἡ χώρα· διαβάσι γὰρ ἡμῖν ἀπὸ Γκιουργκιόβου διὰ τοῦ Ρουμουνικοῦ ἀγροῦ, καὶ διὰ τῆς Μολδόβης μέχρι Σορόκης, καὶ σχεδὸν πάσας τὰς ἀγορορὰς ἢ κωμοπόλεις τῆς Μολδόβης περιελθοῦσιν, οὐδὲν ἦν πέτρας ἰδεῖν σπανιώτερον, ἐκτὸς τῶν ἔντισι ποταμοῖς καχλήκων καὶ ψήφων, καὶ ὧν εἴδομεν ἐν Σορόκῃ πολλῶν λιθίσκων, ἐκ τῆς φύσεως τῆς γῆς,

ἣν οἱ χυμικοὶ χαλικογῆν ὀνομάζουσιν. Εἴδομεν δὲ πολλάκις καὶ ἐργάτας ἐπὶ φρέατι γεωρυχοῦντας, καὶ ὀργυιὰς ὅλας τὸ ὄρυγμα βαθύνοντας, καὶ οὐδὲν ἄλλο ἢ γῆν ἀργιλώδη ἐκ τοῦ βάθους ἐξερῶντας, ἔστι δ᾽ οὗ καὶ ὑπὸ ὀργυιὰν ἄμμος μόνον εὑρίσκεται. Σημεῖον δὲ τῆς εὐγειότητος, καὶ τῆς πιότητος τῆς γῆς ἐναργές ἐστι καὶ τὸ τὴν κόπρισιν ἀγνοεῖσθαι ὅλως ὑπὸ τῶν κατοίκων, οὐ μόνον τῶν ἀρουρῶν, ἀλλὰ καὶ τῶν κήπων καὶ τῶν ἀμπέλων, καὶ τῶν πρασιῶν. Ταῦτ᾽ ἄρα καὶ πόα φύεται ἐς φορβὴν ζώων ἀρίστη, καὶ πολυβότειρα ἡ Ρουμουνία, καὶ οἱ ῥουμοῦνοι πολυθρέμμονες· ἔχουσι γὰρ βοῦς πολλὰς, ἵππους, πρόβατα πλείω, χοίρους, ἀφ᾽ ὧν πάντων καὶ ἐξαγωγὴ μεγάλη τοῖς πέριξ καὶ πόῤῥω γίνεται, καὶ χιλιάδες πολλαὶ χρυσίων ἀπὸ ταύτης εἰσέρχονται. Βοῶν πολλαὶ χιλιάδες ἐξάγονται ἐς τὸ Δαϋτζλάνδ· προβάτων πολλαὶ πλείους ἐς τὰ πέραν τοῦ Ἴστρου, μάλιστα δὲ ἐς Κωνσταντινούπολιν· ἔτι δὲ καὶ δέρματα βοῶν, καὶ πολλὰ ἔρια· χοῖροι πολλοὶ ἐς

τὴν ἐστραϊχικὴν Ρουμουνίαν καὶ Μοαγγυορίαν· ἵπποι πολλοὶ ἐς τὸ Δαϋτζλάνδ. Τρέφονται δὲ ἔν τισι μέρεσι καὶ αἶγες· καὶ οἱ αἰγύπτιοι καὶ ὄνων ὀχείων καὶ φορβάδων ἐπιμέλονται ἐς κτῆσιν καὶ πρῆσιν ἡμιόνων, καὶ ἐπικερδὴς ἐξαγωγὴ ἐκ τούτων ἐς τὰ πέραν τοῦ Ἴστρου γίνεται· ἐν γὰρ τῇ Ρουμουνίᾳ οὐκ ἐν χρήσει τὰ ζῶα ταῦτα, οὐμὴν οὐδ' οἱ πατέρες αὐτῶν τυγχάνουσι.

Πλήθουσι δὲ αἱ αὐλαὶ τῶν ῥουμούνων καὶ πτηνῶν, ἀλεκτορίδων, χηνῶν, νησσῶν, καὶ τῶν ξένων πτηνῶν, ἅς κούρκας μὲν οἱ ῥουμοῦνοι ὀνομάζουσιν, ὑπὸ δὲ ἑτέρων, ἰνδικοὶ ἀλεκτρυόνες καλοῦνται, ἀπροσφυῶς μάλα διὰ δύο αἰτίας, καὶ διὰ τὸ ἀνόμοιον πάντῃ τῷ ἀλέκτορι εἶναι τὸ ζῷον, καὶ διὰ τὸ ἐκ τῆς Κολομβικῆς πρῶτον ἐλθεῖν ἐς τὴν Ευρώπην, καὶ οὐκ ἐκ τῆς Ινδίας, ἧς μέρος συνεχὲς τὸν εὑρεθέντα νέον κόσμον ὑπετόπασαν, καὶ μᾶλλον ὁ ὄχλος τῆς Ευρώπης. Τρέφονται δ' ἔτι καὶ μελεαγρίδες, περιεργείας μᾶλλον ἢ χρείας χάριν καὶ ὠφελείας, καὶ Ταῷ, ὧν

τὰ πτερὰ χρήσιμα ἐς κατασκευὴν ῥιπίδων καὶ μυιοσοβῶν ὡραιοτάτων· αἱ γὰρ μυῖαι θέρους ὀχληρόταται ὁμοτράπεζοι, οὐ μόνον τοῦ πολλοῦ ἀνθρώπου, ἀλλὰ καὶ τῶν πλουσίων καὶ τῶν ἀρχόντων, ἀκμὴν καὶ τῶν ἡγεμόνων τυγχάνουσι· λαιμαργεῖ γὰρ ἐκτόπως περὶ τὰ ποικίλα τῶν ἐδεσμάτων καὶ τὰ καρυκεύματα καὶ τοὺς ἡδεῖς ζωμοὺς τὸ ζωδάριον· ὅθεν καὶ ἔθνη ὅλα περὶ τὰς ἡγεμονικὰς καὶ ἀρχοντικὰς τραπέζας σπουδάζουσι· καὶ ὅριον τολμηρᾶς λιχνείας οὐδ' αὐτὸ τὸ ἕρκος τῶν ὀδόντων γνωρίζουσιν, οὗ περ ὑπερίπτανται ἐσθ' ὅτε, τὸν προσφερόμενον ψωμὸν, ἐκ τοῦ στόματος αὐτοῦ, τὸ λεγόμενον, ἁρπάσαι βουλόμενα. Τρέφουσι δὲ καὶ περιστερὰς ἐν περιστερῶσι τῶν ἡδυσάρκων καὶ τρυφερῶν νέων περιστερῶν ἕνεκα. Εστι δὲ ἰδεῖν παράτισι καὶ εἶδος ἀλεκτορίδων πολὺ μειζόνων, ἤπερ αἱ ἐγχώριοι· ἀλλ' οὐ τελεσφορεῖ ἐνταῦθα τὸ ζῶον διὰ τὸ δύσριγον.

Αγαθῆς δὲ ὑπερφυῶς οὔσης τῆς χώρας καὶ ἀμπέλῳ, πλὴν ὅπου διὰ τὴν ὀρεινότη-

τα καὶ τὸ ψῦχος, ὥςπερ ἐν τῷ βορείῳ τῆς Μολδόβης καὶ Βασσαραβίας καὶ πέραν Σιρέτου ὑπὲρ τὸν ὑπονομὸν τῆς Πούτνης, αὐτήτε οὐ τελεσφορεῖ καὶ ὁ βότρυς οὐ πεπαίνεται, διάτε τὸ ψῦχος καὶ τὰς πάχνας, ἤδη ἐν σεπτεμβρίῳ τὰ πολλὰ ἀρχομένας, καὶ διὰ τὰς ἐν θέρει ἐπισυμβαινούσας πολυομβρίας ἐνίοτε. Οι ἀμπελόφυτοι τόποι πολλοί εἰσι, τινὲς δὲ καὶ δι' εὐοινίαν ἐξάκουστοι, τὸ Οντομπὲστ, τὸ Χοὺς, μάλιστα δὲ τὸ Κοτνὰρ, οὗ περ ὁ οἶνος ἐν ὑπογείοις φυλαττόμενος, μετὰ τετραετίαν ἐς τὸ χλοερὸν ἢ πράσινον τρέπεται, καὶ πολὺ ἡδίων καὶ κράτιστος γίνεται. Εξάγεται δὲ οἶνος, ἐκ μὲν τοῦ Ρουμουνικοῦ ἀγροῦ ἐς Αρδέλιον, ἐκ δὲ Μολδόβης ἐς τὴν Εστραϊχικὴν Μολδόβαν, καὶ ἐς τὴν Πόλσκαν καὶ τὴν Ρουσσίαν. Ηδὲ ἄμπελος ἐνταῦθα χειμῶνος κατορύττεται καὶ γῆ ἐπαμᾶται, ὥς περ καὶ πρὸ τῆς ἀρχῆς τοῦ ἡμετέρου ἔτους ἐποιεῖτο· δυσχείμερος γὰρ ἡ χώρα καὶ τὸ φυτὸν δύσριγον, καὶ ἀκατόρυκτον μένον χειμῶνος ἐν μεγάλῳ κρυμῷ, κρυουμένου τοῦ

*περιφερομένου ἐν αὐτῷ καὶ τρέφοντος αὐτὸ χυμοῦ, τοῦ ζῆν παύεται καιόμενον, καὶ αὐαίνεται καὶ ξηραίνεται. Ἐν τοῖς πέριξ δὲ τοῦ Ἀκερμὰν ἀκατόρυκτος χειμῶνος μένει ἡ ἄμπελος, ἀλλ᾽ οὐ καίεται, καὶ ὁ βότρυς ἡδύτερος ἐνταῦθα, ἤπερ ἑτέρωθι Ρουμουνίας. Ἦσαν δὲ καὶ τὸ πάλαι ἐν τῇ Ρουμουνίᾳ ἄμπελοι, οὐ μόνον ἐπὶ γετῶν ὥσπερ εἴδομεν, ἀλλὰ καὶ ἐπὶ σκυθῶν· καὶ τότε ὥσπερ καὶ νῦν φιλοπόται οἱ κάτοικοι, καὶ τὸ σκυθίζειν καὶ ἐπισκυθίζειν, παρὰ τοῖς ἕλλησι τέτριπτο· εἴποις δ᾽ ἂν νῦν ῥουμουνίζειν ἢ ἐπιῤῥουμουνίζειν, εἰ βούλει· ῥουμουνίζει δὲ ὁ πολὺς ἄνθρωπος μάλιστα· ἄρχοντα γὰρ ἰδεῖν φιλοπότην, σπάνιον.*

*Ξύλινοι δὲ πρὸς τῇ ἀμπέλῳ καρποί, ὥςπερ μῆλα, κάρυα, ἄπια, κοκκύμηλα, δαμάσκηνα, κεράσια, παντοῖα ἐκ πάντων εἴδη, πλῆθος ἀπίθανον· καὶ δρυμοὺς ὅλους ἐστὶν ἰδεῖν δένδρων, ἃ τοὺς καρποὺς τούτους φύουσι, καὶ ἐξαγωγὴ τινων ἐς ἀλλοδαπὴν ἀξιόλογος γίνεται. Ροδάκινα δὲ καὶ κυδώνια, φύονται μὲν, τῷ δὲ μεγέθει καὶ*

τῇ ποιότητι πολὺ τῶν τῆς Ἑλλάδος ἀπολείπονται, πλὴν τῶν ἐν τῷ παλαιῷ Κελλίῳ κυδωνίων ὑπερφυῶς μεγάλων γινομένων. Οαι ἀμελοῦνται, ὅθεν καὶ τὰ οὖα σπάνια. Ἐξάγεται δὲ καὶ τυροῦ πλῆθος καὶ βουτύρου καὶ κρεωταρίχων ἐς τὰ δεξιὰ τοῦ Ἴστρου καὶ ἐς Κωνσταντινούπολιν, καὶ ἰχθυοταρίχη κἀκεῖ καὶ ἐς Ἀρδέλιον. Ἔτι δὲ καὶ μέλι πολὺ καὶ κηρὸς καὶ λινόσπορος καὶ φασίολοι καὶ πισὰ καὶ φακῆ καὶ κύαμοι καὶ ἄνισον, καὶ κέγχρος· μελίνη δὲ, ἣ καὶ ἔλυμος καλεῖται, ᾗ τούτῳ μόνον τῆς κέγχρου διενήνοχεν, ὅτι ταύτης μὲν ὁ καρπὸς ἐς φόβην ἀποχεῖται, ἐκείνης δὲ ἐς στάχυν, ὅσα γε καὶ ἡμᾶς εἰδέναι, οὐ καλλιεργεῖται ἐνταῦθα. Πρὸ πάντων δὲ πυρὸς καὶ ἕτεροι σίτινοι καρποί· καὶ ἡ ἑῴα καὶ μεσημβρινὴ Ρουμουνία σιτὼν τῆς Κωνσταντινουπόλεως ὀνομάζεται.

Καλλιεργοῦνται δὲ ἔτι, μάλιστα ἐν τῷ Ρουμουνικῷ ἀγρῷ καὶ ἐν τῇ Βασσαραβίᾳ καὶ πέπονες καὶ τὰ λεγόμενα καρπούζια, ἢ ὡς ἂν φρανσίζων εἴποι τις ὑδροπέπονες,

ὀνομαστὰ διάτε τὴν ποιότητα καὶ ποσότητα· σωροὶ γὰρ φθίνοντος θέρους τῶν τοιούτων καρπῶν ἐν πρατηρίοις. Γεωργοῦνται δὲ ἐν κήποις καὶ λάχανα παντοῖα, ὡς κράμβαι, οὐλοκράμβαι, ἠβίσκοι, δαυκοὶ, σεῦτλα, κρόμμυα, σκόροδα, γογγύλαι, ῥάφανοι, καὶ διάφορα εἴδει κολοκυνθῶν, ποῶν ὧν τὰ ὑπερφυῶς μεγάλα φύλλα, μακροῖς καὶ καλαμώδεις μίσχοις ἀνέχονται, ἐπιγειοκαύλων, ὅταν μὴ δένδρα παρακέωνται, ἢ στήμονες μὴ παραπήσσωνται, ὡς ἂν ὁ μήκιστος καὶ ἕρπων καυλὸς ταῖς χερσὶν αὐτοῦ, ἃς ἕλικας καλοῦσιν, τούτων ἐπιλαβόμενος, ἐς ὕψος αἴρηται, καὶ ἐπαλλόκαυλος γίνηται· ἀτὰρ καὶ τὸ πηχυαῖον καὶ σκολιὸν εἶδος τὸ τὸν συκιώδη ἢ πεπονώδη καρπὸν φέρον· ἔτι τὸ λεγόμενον μακεδονίσιον, ἢ πετροσέλινον, τὰ εἴδη τοῦ στρύχνου, τὰ μιντζάναι κοινῶς λεγόμενα, τό, τε σικυώδη τὸν καρπὸν ἔχον, καὶ τὸ στρογγύλον καὶ πλακώδη καὶ διηρημένον ἔξωθεν ὡς οἱ πέπονες· σέλινα, πράσα, σπανάκια, καὶ ἐν κήποις αὐτόματοι φύονται αἱ ἐπι-

γειόκαυλοι καὶ σαρκόφυλλοι ἀνδράχλαι ἢ τρεῦλα· καὶ οὐ πάνυ πρώην ἐν ταῖς ἀγοραῖς τοῦ Βουκουρὲστ, εὐτελοῦς κέρματος, ἀγκαλίδα ὅλην εἶχέ τις πρίασθαι. Τὰ δὲ σέλινα, ἅπερ ἐν τῇ Ἑλλάδι καὶ ἕλεια αὐτομάτως φύονται, ἐνταῦθα μόνον κήπεια οἴδαμεν. Ἀσπάραγοι, οὓς καλοῦσιν ἡμέρους, οὐ γεωργοῦνται ἐνταῦθα, ὡς ἐν ἑτέροις μέρεσιν, ἀλλὰ φύονται αὐτόματοι ἐκ περιουσίας, ἐν ἀγροῖς, μάλιστα δὲ ἐν ἀρούραις. Ἀσπάραγοι δὲ ἀκανθίαι ἢ ὄρειοι, οἵπερ τοῦ πάχους μὲν οὐκ ἐφικνοῦνται τῶν ἡμέρων, ποιότεροι δὲ τούτων τυγχάνουσι, προϊὸν τῶν μεσημβρινοτέρων τόπων εἰσί. Μύκητες πολυειδεῖς φύονται αὐτόματοι φθινοπώρου, ἐν γυμνοῖς τόποις καὶ ἐν ὕλαις, καὶ ἐπὶ χειμῶνι παρά τινων ξηραίνονται συλλεγόμενοι· οἱ πολλοὶ ὅμως ἐκ τῆς Πόλσκης ἐνταῦθα κομίζονται. Φύεται δὲ ἐκ περιουσίας, ἔαρος, καὶ τὸ ἡδύτερον εἶδος τῶν μυκήτων, καυλὸς παχὺς, ῥυσσὸς, στενὸν, κωνοειδὲς καὶ πεπιεσμένον ἔχων τὸ σκιάδιον, ἐκ γῆς ἀναδιδόμενος.

Ὕδνα, οἱ ἔτι ἡδύτεροι μύκητες, οὐκ οἴδαμεν φύεσθαι ἐνταῦθα, οὐδέ τινος εἰδότος ἠκούσαμεν· ἴσως ὑπὸ γῆν φυόμενον τὸ στρογγυλόμηκες φῦμα, καὶ ὑπὲρ γῆς μὴ δρώμενον, λανθάνει τοὺς ὄψεσι μόνον ἐς εὕρεσιν αὐτοῦ χρῆσθαι θέλοντας.

Λαχανεύεται ἔτι καὶ ἐν ἀγοραῖς πιπράσκεται ἔαρος καὶ ὁ νέος βλαστὸς τῆς κλιματώδους καὶ ἐπαλλοκαύλου καὶ φρυγανώδους πόας, ἣν σύμουλον ὁ Λινναῖος καλεῖ, ὡς ἂν εἴποις, χαμαίυλον· χαμαϊ δὲ (δισυλλάβως) ταύτην ὀνομάζουσιν οἱ ῥουμοῦνοι, καὶ πλήθει ταύτης αὐτομάτως ἡ χώρα. Φύονται ἔτι αὐτομάτως καὶ ἀφθόνως, καὶ θέρους πιπράσκονται ἐν ἀγοραῖς, καὶ τὰς τῶν ῥουμούνων τραπέζας στολίζουσι, καὶ τὰ λεγόμενα χαμοκεράσια· τὰ μὲν ἐν ὕλαις διάφορα τῶν ἐν ψιλοῖς τόποις, ὄντα, διάφορα ἔχουσι καὶ τὰ ὀνόματα. Βάτια ἰδαῖα, αὐτόματα μὲν, καὶ δαψιλῆ ἐν τοῖς ὀρεινοῖς μέρεσι, κηπαῖα δὲ ἐν τοῖς ἑτέροις εὑρίσκονται· σμέουρα ταῦτα οἱ ῥουμοῦνοι καλοῦσι. Παρομοίως δὲ τού-

τοις φυτεύονται ἐν κήποις, καὶ φύονται αὐτόματοι ἐν τοῖς ὀρεινοῖς μέρεσι καὶ αἱ βερβερίδες, θάμνος ὡραῖος, ῥοιᾶς μεγέθει, πολύκαυλος, ἀκανθώδης, βοτρυόκαρπος, οὗ τὸν ἐρυθροῦν ἡδέως ὀξὺν καρπὸν ἀναλέγουσι φθινοπώρου ἐς κατασκευὴν σακχαρωμάτων. Κομίζονται ἔτι εἰς ἀγορὰν ἐπὶ πρήσει καὶ τὰ λεγόμενα βρεκόκκια ἢ πρεκόκκια, καὶ σωροὶ τούτων μεγάλοι, ἐν εὐτυχέσι θέρεσιν, ὁρῶνται· τὰ δὲ καλλίω καὶ μείζω τούτων, καεσσὰ κοινῶς λεγόμενα, τὰ ξηρὰ μόνον ἐν τοῖς παντοπωλείοις πωλούμενα, ὥςπερ καὶ τὰ ἀμύγδαλα, ἐκ τῶν μεσημβρινωτέρων τόπων ἐνταῦθα κομίζονται. Φυτεύονται μὲν οὖν οἱ πηρῆνες ἐνταῦθα, ὥςπερ καὶ οἱ τῶν καλῶν ῥοδακίνων ἢ περσικῶν, καὶ νέα φυτὰ τούτων ἀναδιδόασιν, ἀλλ' ἡ καλλιέργεια αὐτῶν ἀμελεῖται, καὶ τὰ φυτὰ τελεσφορεῖν οὐ θέλουσι, τῆς ὀφειλομένης αὐτοῖς στερούμενα περιποιήσεως· τελεσφορουμένων τε ἡ πέπανσις τῶν καρπῶν ὑπὸ τοῦ ψύχους τὰ πολλὰ κωλύεται, καὶ τὸ δένδρον καίεται. Καθόλου

γὰρ ὅπου ἡ φύσις ἐλευθερία καὶ μεγαλόδωρος, ἐκεῖ τὰ πολλὰ, νωθρεύει καὶ ἀφροντιστεῖ καὶ ὁ ἄνθρωπος, καὶ ὑπτιάζει, τὸ δὴ λεγόμενον.

Φυέται δὲ νῦν ἐν τῇ χώρᾳ καὶ τὰ τοῖς παλαιοῖς ἀγνοούμενα· καὶ γὰρ καὶ ταῦτα ἐκ τῆς Κολομβικῆς ἐς τὸν παλαιὸν μετήνεγκται κόσμον· ὁ ταμπάκος, λέγω, ὁ ὀνομασθεὶς οὕτως ἀπὸ τῆς νήσου ὅπου εὑρέθη, ἢ ὅθεν πρῶτον ἐκομίσθη ἐς τὸν ἡμέτερον κόσμον· τὰ γεώμηλα, ῥίζαι οὖσαι, ὥςπερ τὰ κοινῶς λεγόμενα κολοκάσια, φυτοῦ τινος ἐκ τοῦ γένους τῶν στρύχνων ἢ σολάνων τοῦ Λινναίου, ὥσπερ καὶ ἡ πατλιζάνα ἢ μιντζάνα, καὶ ἡ ἐν φραγμοῖς καὶ παρὰ ταῖς ὁδοῖς αὐτόματος φυομένη γλυκοπικρὰ, ἡ πολὺ τοῖς ἰατροῖς χρήσιμος. Λέγομεν δὲ, κοινῶς λεγόμενα· ἡ γὰρ κολοκασία τῶν βοτανικῶν ἑτέρα παρὰ ταύτην ἐστὶ πόα, εἶδος δρακοντίου ἢ ἄρου. Λωτὸν ὀνομάζει τὸ φυτὸν ὁ Θεόφραστος, τὴν δὲ ἡδεῖαν ῥίζαν τῇ προσφορᾷ, καὶ ὠμὴν καὶ ἑψομένην καὶ ὀπτωμένην, κόρσιον. Τὸ

κοινῶς κολοκάσια ῥίζα ἐστὶν, ἑψομένη μόνον ἐδώδιμος, οὐκ ἀλευρώδης, πόας ἐπετείου, εἴδους τοῦ ἡλίου τοῦ Λινναίου, τοῦ κοινῶς ἀνθηλίου. Οργυιαία, ὀρθοφυὴς, μονόκαυλος σχεδὸν ἡ πόα, ἀκρόκαυλον ἄνθος ἔχουσα μεῖον τοῦ τοῦ ἀνθηλίου, στρογγυλοπλακώδες, περιστεφὲς τοῖς πετάλοις. Οιδασι πάντες τοὺς ἡλίους τοὺς κοσμοῦντας τοὺς κήπους· ἔτι δὲ καὶ τὸ μάϊον. Εκ τούτου δὲ τοῦ μαΐου ἐς Αρδέλιον καὶ πέραν τοῦ Ιστρου ἱκανὴ ἐξαγωγή γίνεται, καὶ τὸ πολυτίμητον μέρος τοῦ λαοῦ, ἡ βάσις παντὸς ἔθνους, οἱ πατέρες καὶ τροφεῖς τῶν πόλεων, οἱ κακῶς καὶ ἀγνωμόνως ὑπὸ κακῶν καὶ ἀγνωμόνων περιφρονούμενοι, οἱ κάτοικοι τῶν ἀγρῶν, λέγω, τρέφονται, οὐ φυρῶντες καὶ ἀναμάσσοντες ἐν μάκτρᾳ τὸ ἄλησμα, οὐδ᾽ ἐῶντες ζύμῃ ζυμοῦσθαι τὸ μάγμα, οὐδὲ πλάσσοντες ἄρτους ἐν πλαθάνῳ ἐκ τοῦ ζυμώματος, οὐδὲ τὰ πλάσματα ὀπτᾶσθαι ἐν ἰπνῷ τιθέμενοι, οὐδ᾽ ὅλως ἰπνοῦ χρείαν ἔχοντες· ἀλλ᾽ ἐν ζέοντι ὕδατι ἐν ὑπερλαβεῖ κακκαβίῳ ἢ ἁπλῶς χαλκώματι, ἀγκύλης

ὑπὲρ πυρὸς, ὡς τὰ πολλὰ, τῇ κορυφῇ τριῶν στημόνων προσηρτημένης, ἐξηρτημένῳ καὶ ἀπῃωρημένῳ, τὸ ἄλευρον πάσσοντες, καὶ τορύνῃ κυκῶντες, ἔχουσιν αὐτίκα ἑψημένην καὶ ἐδώδιμον μάζαν τὸ φύραμα, καὶ τροφὴν αὐτοσχέδιον. Σιτοδείας πολλάκις τῇ χώρᾳ ἐπιγινομένης, διὰ τοὺς ἐπικρατοῦντας τὰ πολλὰ θέρους αὐχμοὺς ἢ πολυομβρίας, καὶ ἔλλειψις κέγχρου, ᾗ οἱ κάτοικοι τῶν ἀγρῶν, καθόλου, ἐτρέφοντο, γινομένης, καὶ πείνης ἐντεῦθεν οὐ σπάνιον πρᾶγμα πρότερον οὔσης, Κωνσταντῖνος ὁ Μαυροκορδάτος, ὁ καὶ τὴν ῥουμουνίδα γλῶσσαν ἐς τὴν ἐκκλησίαν ἀντὶ τῆς ἰλλυρίδος ἐσαγαγὼν, τὸ σωτήριον μάϊον ἐς τὴν χώραν ἐσηγάγετο, καὶ αἱ δυσετηρίαι ἐντεῦθεν σπανιώτεραι τυγχάνουσι.

Τὸ δὲ μάϊον, ὡς ὅπου πρῶτον ἐν τῇ Κολομβικῇ εὑρέθη, ὠνομάζετο, πόα ἐστὶν, ἐνιαυσία, ὀργυιαία, ἐμφερὴς τῷ ὑπερυψήλῳ καὶ ἐν τοῖς μεσημβρινοῖς τῆς Εὐρώπης φυομένῳ αὐτομάτως· καλάμῳ, ἐνιαυσία πόα, καὶ ἐκ ῥίζης καθ' ἕκαστον ἐνιαυτὸν

βλαστάνοντι, γόνασι καὶ αὐτὸ, ὥςπερ καὶ οὗτος, διειλημμένον καὶ κεκρατυσμένον, καὶ ὁμοιόφυλλον πως· μονόοικον, ὥςπερ καὶ ἡ καρύα, κορυφὴν τὸ ἄῤῥεν ἔχον ἄνθος, εὖ μάλα διακεκριμένον. Τὰ δὲ θήλεα ἄνθη ἐκ τῶν γονάτων ἐναλλὰξ φυόμενα, προσανέχουσι τῷ σομφῷ μὲν ἔσωθεν, καλαμώδει δὲ ἔξωθεν στελέχει ἢ καυλῷ, καὶ σπάθαι ὑπὸ τῶν βοτανικῶν κικλήσκονται. Εστι δὲ τὸ θῆλυ τοῦτο ἄνθος φυλλοθήκη ἢ σπαθοθήκη, σομφὸν ἐν μέσῳ ἐμπερικλείουσα κωνίσκον, ἐξ οὗ στιχηδὸν πλῆθος μακρῶν ἰνῶν, οὓς πάππους ὀνομάζουσι, καθόλου δὲ οἱ βοτανικοὶ ἠλακάτην καλοῦσι, φύονται, καὶ ἐκ τοῦ στομίου τῆς σπαθοθήκης ἐπὶ πολὺ προκύπτουσιν, ὥστε καὶ πόῤῥωθεν ὁρᾶσθαι καὶ παχεῖ βοστρύχῳ πως παραβάλλεσθαι. Τούτων δὴ τῶν ἰνῶν ἢ τῶν πάππων, ταύτης τῆς πολυίνου ἢ πολυπάππου ἠλακάτης, πασσομένης τῇ ἄνωθεν ἐκ τοῦ ἄῤῥενος ἀκροφυοῦς ἄνθους κατιούσῃ γονίμῳ κόνει, ἢ μᾶλλον ὀργώσης καὶ πρὸς ἑαυτὴν ἑλκούσης τὴν κόνιν, (αὕτη

ἐστὶν ἡ τῶν φυτῶν ὀχεία), ἐν τῇ φυῇ ἢ τῇ φύτρᾳ ἑκάστου πάππου, ὁ κόκκος ἢ τὸ ᾠὸν, ἐξ οὗ τὸ νέον φυτὸν διὰ τῆς ἐν τῷ κόλπῳ τῆς μητρὸς γῆς πρότερον ἐνωάσεως προκύψει, συλλαμβάνεται· καὶ τοσοῦτοι εἰσὶν οἱ συλληφθέντες καὶ στιχηδὸν ἐμπεφυκότες κατάπυκνοι καὶ κίτρινοι ἔξωθεν κόκκοι, ὅσοι καὶ οἱ κονίπαστοι πάπποι τυγχάνουσι. Σκέπασον χάρτῃ ἢ ἄλλῳ τινὶ τὴν ἠλακάτην, ἀπείργων οὕτω τὴν ἐκ τῆς κορυφῆς τοῦ αὐτοῦ φυτοῦ ἢ τῶν πέριξ, κατιοῦσαν ἢ ἐφελκομένην κόνιν, ἀπείργων οὕτω τὴν ὀχείαν, εἰ βούλει, ἀπεῖρκται σοι οὕτω καὶ ἡ γαμικὴ ἐπίπασις καὶ ἡ σύλληψις καὶ ἡ κύησις, καὶ ὄψει καρπὸν οὐδένα μετέπειτα, καὶ ἡ σπαθοθήκη σοι ὑπηνέμιος.

*Βαμβαξ* δὲ, ὃς καὶ γοσσύπιον λέγεται, ἡ βύσσος τῶν πάλαι, καὶ τὸ ἐριοφόρον δένδρον τοῦ Θεοφράστου, οὗπερ ὁ καρπὸς, ὡς μῆλον ἐαρινὸν ἐστι συμμεμυκὸς· ὅταν δὲ ὡραῖον ᾖ, ἐκπετάννυσθαι φασι καὶ ἐξαίρειν τὸ ἔριον, ἐξ οὗ τὰς σινδόνας ὑφαίνουσι· τὰς μὲν, εὐτελεῖς· τὰς δὲ, πολυ-

τελεστάτας. Επὶ Πανσανία, μόνον ἐν τῇ Ηλυδι ἐσπείρετο. Βύσσον ὀνομάζει τοῦτο ὁ Πανσανίας. Βάμβαξ, λέγω, καὶ σῦκα καὶ ἐλάαι, καὶ ῥοιαὶ καὶ λάθυροι καὶ σήσαμον, καὶ κάππαρις καὶ ἐρέβινθοι, καὶ πιστάκια καὶ πιτυΐδες καὶ ἀμύγδαλα, καὶ ζίζυφα διὰ τὸ δύσριγον αὐτῶν, θερμοτέρου δεύμενα κλίματος, προϊόντα μέν εἰσι τῆς ἡμετέρας Ελλάδος, ἐξ ἧς ταῦτα κἀνταῦθα εἰσάγεται, οὐ μὴν δὲ καὶ τῆς Ρουμουνίας διὰ τὸ δυσχείμερον. Συκαμινέαι δὲ ἢ μορέαι, αἱ λεγόμεναι λευκαὶ, δύσριγον γὰρ τὸ μέλαν ἐστὶν εἶδος, ἔστιν ἰδεῖν ἐνταῦθα· ἀλλ' ἡ βομβυκοτροφία ἀμελεῖται ὅ,τι μὴ πάρεργον· πάντως διὰ τὸ τοὺς ἀνθρώπους πολλοῖς ἅμα ἐνασχολεῖσθαι οὐκ ἔνεστι.

## Δένδρα.

Δένδρα δὲ ἐν τοῖς δρυμοῖς πολὺ πλείοσι πρότερον ἢ νῦν τυγχάνουσιν, ἔν γε τοῖς ἐῴοις καὶ μεσημβρινοῖς τῆς Ρουμουνίας, τὰ δι' οἰκοδομὴν ἀξιόλογα, δρῦς εἰσι καὶ

ὀξύαι καὶ μελίαι, καὶ κανθαρίδες ἐκ τῶν μελιῶν συλλέγονται καὶ εἰς ἀλλοδαπὴν πέμπονται, καὶ σφενδάμνων πολλὰ εἴδη· σφένδαμνοι πλατανόφυλλοι, ζακχαροσφένδαμνοι καὶ οἱ λοιποὶ, πτελέιαι, φίλυραι, ἐλάται, πίτυς ἄγριαι· τὰς γὰρ κωνοφόρους ἢ στροβιλοφόρους ἡμέρους οὐκ ἐπιτρέπει τὸ κλίμα ἐνταῦθα φύεσθαι. Δρυμοὺς ὅλους ἐξ ἐλατῶν ἢ πιτύων οὐκ εἴδομεν ἐν Μολδόβῃ, ἀλλὰ μεμιγμένα ὀξύαις τὰ δένδρα· καὶ ἔδοξε ξένον ἡμῖν τὸ πρᾶγμα ἐνταῦθα μόνον αὐτὸ ἰδοῦσιν· οὐδὲ λάρικάς που εἴδομεν ἐν Μολδόβῃ. Τὸ δένδρον τὸ ὑπὸ τῶν βοτανικῶν λάριξ ὀνομαζόμενον, γραμμόφυλλον τυγχάνει, καὶ ἔχει τὴν ἔκφυσιν τῶν φυλλίων ὥσπερ ὁ ἀσπάραγος, ἤγουν ἐκ μιᾶς ἀρχῆς πολλὰ ὁμοῦ ἐκφυόμενα φυλλία. Μελιῤῥόα, φθίνοντος ἔαρος, τὰ φυλλία τῆς λάρικος, ὥσπερ καὶ τὰ φύλλα τινῶν εἰδῶν τῆς μελίας, καὶ τὸ ῥέον μέλι πήσσεται καὶ πρόσοψιν ἔχει λιβάνου, καὶ συλλέγεται καὶ πιπράσκεται καὶ δύναμιν ἔχει καθαρτικήν. Τοῦτο ἐστὶ τὸ μάν-

να· φύονται ἔτι καὶ ἄρκευθοι καὶ αἰγείρων καὶ ἰτεῶν πολλὰ εἴδη, καὶ αἱ σημύδαι, τὰ κοινῶς λεγόμενα λευκόξυλα, λατινιστὶ μπέτουλαι, τά τε παρὰ τοῖς ῥύαξιν ὁρώμενα, καὶ τὰ λυπραῖς γαῖς χαίροντα, ἀφ' ὧν καὶ πίσσης εἶδος ἐξάγεται· ἀλλ' ὅλους δρυμοὺς τούτων, ὡς ἀλλαχοῦ, ἐνταῦθα οὐκ εἴδομεν· ἔτι δὲ καὶ κραταιγοὶ, εὐώνυμοι, μέσπιλοι, ζυγίαι, κλῆθραι καὶ βιμποῦρνα, ὧν τὰ ῥαβδία ὡς καπνοσωλήνια τοῖς καπνίζουσιν εὔχρηστα, καὶ ἐξαγωγή τις ἐκ τούτων ἐς τὰ μεσημβρινὰ ἀξιόλογος. Καστανέαι ἄγριαι ἐν τῷ δυτικῷ τοῦ Ρουμουνικοῦ ἀγροῦ φύονται, καὶ ἔν τισι μέρεσι τῆς Μολδόβης, ὡς ἠκούσαμεν, ἀγριώτεραι, καὶ τὰ κάστανα, ἃ καὶ βαλάνους Διὸς τὸ πάλαι ὠνόμαζον, ἐκ τῶν μεσημβρινῶν καὶ παραποντίων ἐνταῦθα κομίζεται. Ἄγριαι μηλέαι καὶ κέρασοι, προῦναι, ἀχράδες, ὄαι, πολλαί εἰσιν ἐν ταῖς ὕλαις, καὶ ἀμπέλους ἀγρίας παρὰ τοὺς ἀμπελῶνας εἴδομεν. Δρυμοὺς ὅλους καρυῶν εἴδομεν, καὶ καρύων ἐξαγωγὴ ἐς Ρουσσίαν γί-

νεται. Λεπτοκαρύαι ἄγριαι μὲν πολλαί εἰσι, ἥμεραι δὲ ὀλίγαι, παρὰ μόνοις τοῖς ἐν Μποτοσιὰν γραικοῖς, ὡς οἰόμεθα· ὅθεν καὶ τὰ λεπτοκάρυα, ἐκ ξένης, ἐκ τῶν παραποντίων ἐνταῦθα κομίζεται. Πλάτανοι δὲ ὁ στολισμὸς τῶν ἐν τῇ Ελλάδι ἀγορῶν καὶ πηγῶν καὶ ἑτέρων τόπων· πλάτανοι αἱ τρυφηλοτέραν θέρους τὴν ὑπὸ σφᾶς διατριβὴν τῶν σκιαζομένων καὶ μεσημβριζόντων παρεχόμεναι, διὰ τὸ ψύχος οὐ φύονται, οὐδ' ἐρεῖκαι, οὐδὲ μύρτοι, οὐδ' αἱ ῥηξίφλοιοι κόμαροι, οὐδ' αἱ λειόφλοιοι κόμαροι, αἱ ἀνδράχναι τοῦ Θεοφράστου, οὐδὲ πρῖνοι, οὐδὲ ἀρίαι, οὐδ' ἐλαιόπρινοι.

Ὗν τοῦτο τὸ δένδρον ἐκάλουν οἱ ὑπὲρ τὴν Φρυγίαν γαλάται ἐν τῇ ἐπιχωρίῳ γλώσσῃ, ὥσπερ καὶ νῦν οἱ φρανσαῖοι, οὗπερ εἴδη μὲν οὐλακανθόφυλλα, ὅθεν καὶ ἐλαιόπρινος, εἴδη δὲ λειόφυλλα. Τούτου τὸν καρπὸν ὅμοιον ὄντα τῷ τοῦ στρύχνου (τινῶν εἰδῶν μόνων), ἡμαρτημένως οἴεται ὁ Παυσανίας εἶναι τὸ κοινῶς λεγόμενον πρινοκόκκιον. Τοῦτο νόσος ἐστὶ διέτεσι βλα-

στοῖς τῆς πρίνου, δρυὸς εἶδος οὔσης, συνισταμένη ἐν συνεχέσι τε καὶ διεχέσι φλυκταίναις τοῖς ῥαβδίοις, καὶ μεσταῖς ἐρυθροῦ ὑγροῦ οἱονεί αἵματος, ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ πλῆθος κυοφορουμένων ἐμβρύων, κυημάτων ζωϋφίων ἐν ὑγρῷ νηχομένων καὶ τρεφομένων. Λυται αἱ νοσοφλύκταιναι τοῦ φυτοῦ, ἢ κόκκοι καὶ μῆτραι πως καὶ φωλεοὶ τῶν ζωογονουμένων ζωδαρίων, πρὶν συντελεσθῆναι ταῦτα καὶ πτιλωθῆναι, συλλέγονται, καὶ ἐς νεκρωτικὴν ἀλέαν ἡλιάζονται· (ἄλλως γὰρ καὶ συλλεχθεισῶν οὕτως, ἀποπτήσονται τὰ ζωΰφια·) καὶ ἔπειτα τοῖς βαφεῦσι ἢ τοῖς ἐμπόροις πολλοῦ πιπράσκονται. Παῖς καὶ ἐγὼ ὢν ἔτι, συνελεξα τούτων ἅπαξ περιεργείας χάριν ὑπὸ τὸ Πήλιον, ὅπου ἡ τοῦ πρινοκοκκίου χρῆσις ἀγνοεῖται καὶ τὸ ἐμπόριον. Εν Πελοποννήσῳ πολὺ συλλέγεται καὶ ἐξάγεται τὸ πλεῖστον ἐν ταῖς παραθαλασσίαις τῆς ἀντικρὺ Αφρικῆς πόλεσιν.

Ουμενουν, οὐδὲ φιλῦκαι φύονται, οὐδὲ λωτοί· κελτίδα ὀνομάζει ὁ Λινναῖος τὸ

δένδρον· οὐδὲ κυπάρισσοι, οὐδὲ δάφναι, οὐδ' οἱ ὡραῖοι καὶ ἐν ἰατρικῇ πολυτίμητοι ἐλελίσφακοι, οὐδὲ τὰ ὡραῖα καὶ ῥαβδιόφυλλα σπάρτα, τὰ τοῖς κωμήταις ἐς σπάρτας πολύχρηστα· οὐδὲ κερκίδα εἴδομεν, οὐδὲ κολυτέαν, οὐδ' ἐρυθρόδανον, οὐδὲ τὴν ἀείφυλλον καὶ λεπτόφυλλον μίλον, οὐδὲ τὸ ποικιλόκαυλον ὀργυιαῖον δρακόντιον, οὐδὲ τὴν γιγαντιαίαν πόαν καὶ μαραθρόφυλλον νάρθηκα. Ἀτὰρ οὐδὲ αἱ κωνοειδεῖς ἢ κυπαρισσοειδεῖς ὑψηλόταται αἴγειροι ἢ λεῦκαι, ἡ στολὴ τῶν λειμώνων καὶ κωμῶν τῆς Ἑλλάδος, ἃς στενάνους τις προσφυέστατ' ἂν ὀνομάσειεν, ὁρῶνται ἐνταῦθα. Τοῦ παρελθόντος θέρους διελαύνοντες τὰς παρατυρίας κώμας ἐν Βασσαραβίᾳ εἴδομεν τρεῖς που ἢ τέσσαρας τοιαύτας αἰγείρους. Νῦν δὲ βιάζεσθαι τὴν φύσιν τῶν ἀνθρώπων ἀρξαμένων, ἔστιν ἰδεῖν πλατάνους ἐν Βιέννῃ καὶ ἐν ἑτέραις πόλεσι τοῦ Δαϋτζλάνδ, καὶ ἐν τοῖς βορείοις τῆς Φράνσης, καὶ κοινὰ ἤδη τὰ πλατανομετόρχια, καὶ τῶν ἑτεροδένδρων πολὺ τρυφηλότερα·

ἀλλὰ τὸ μεγαλοπρεπὲς σχῆμα καὶ μέγεθος, καὶ τὸ ὑψίκομον καὶ πλατύκομον τῶν τῆς Ἑλλάδος οὐχ ἔξουσι, καὶ τὸ ὄνομα αὐταῖς ἀπροσφυὲς καὶ ἀνοίκειον· πλάτανος γὰρ παρὰ τὸ ἐς ἄνω πλατύνεσθαι εἴρηται. Τεκμαιρόμεθα δὲ ἐξ ὧν εἴδομεν ἐν Παρισίοις καὶ ἐν Βισμποὺργ, γηρασουσῶν ἤδη καὶ τὸ τοῦ εἴδους σχῆμα καὶ μέγεθος μὴ κεκτημένων, τρόπον δέ τινα πυγμαίων διαμενουσῶν. Ἐν δὲ Στρασμποὺργ καὶ ὁδὸν ἔξω τῆς πόλεως ἀμφίφυτον ἐπὶ πολὺ πλατάνοις νέαις ἑωράκαμεν. Τῶν δὲ ὀρθοφυῶν καὶ μακροστελεχεστάτων αἰγείρων, ἃς μικρὸν ἀνωτέρω κυπαρισσοειδεῖς ὠνομάσαμεν, πολλὰς εἴδομεν ἔν τε τῷ Δαΰτζλὰνδ καὶ ἐν τῷ βορείῳ τῆς Φράνσης, σποράδην καὶ κατὰ ὄρχους, καὶ ἧττον δύσριγον τῆς πλατάνου τὸ δένδρον ἔοικε. Στίχοι ἐκ τούτων περιζωννύασι τὴν Λειψίαν, τὸν ὑπὸ σφᾶς περίπατον ἁβρὸν καὶ τρυφηλὸν θέρους ποιουμένων· ἀλλὰ τοῦ ὕψους καὶ τοῦ πάχους τῶν τῆς Ἑλλάδος μὴ ἐξικνουμένων. Βαλεριάναι αὐτοφυεῖς, ὧν εἶδός

τι φοῦ ὀνομάζει ὁ Διοσκορίδης, καὶ χαμαίνλα, ἑκάτεραι πόαι ἰατροῖς χρήσιμοι, πλῆθος ἰδεῖν ἔστιν ἐν Μολδόβῃ. Ῥιζῶν δὲ βαλεριάνης καὶ ἐξαγωγὴ γίνεται. Κρότωνας δὲ, πόας γιγαντιαίας, πλατυφύλλους, ἀμπελοφύλλους πως, καὶ μονοοίκους, ἰατρικῇ καὶ τούτους χρησίμους, ἔν τισι μόνον κήποις ἑωράκαμεν· ὥσπερ καὶ τὰ βραχυστελέχη καὶ ἀνθομανοῦντα νέρια ἢ ῥοδοδάφνας. Ἔστιν ἰδεῖν καὶ ἀκακίας ἢ ῥομπινίας ἐν κήποις καὶ λειμῶσι καὶ ἐν ἀμπέλοις· καί που καὶ ἐλαιάγνους, ὧν τὰ ἄνθη καθ' ὑπερβολὴν εὔοσμα τυγχάνοντα, καὶ ἑνὸς μόνου δένδρου, κώμιον ὅλον ἱκανά ἐστιν ἡδείας μὲν, βαρείας δὲ καὶ ναρκωτικῆς ὀσμῆς ἐμπιπλάναι. Ὑποκαστανεῶν δὲ ἢ ψευδοκαστανεῶν, εὐσκίων δένδρων, καὶ ἐς μετόρχια ἀρίστων, ὧν ἡ πατρὶς τὰ πέραν Ἄλυος τυγχάνει, μόλις νῦν ἤρξαντο φροντίζειν, τὰ ψευδοκάστανα σπείροντες. Κοινοὶ νῦν οἱ δενδροπερίπατοι ἐκ τούτων ἐν ταῖς πόλεσι τῆς Εὐρώπης, ἐκ Βυζαντίου πρῶτον ἐς Βιέννην κομι-

σθέντων ψευδοκαστάνων, κἀντεῦθεν ἐς ἄλλας πόλεις καὶ ἐς Παρίσια. Κοινὴ ἡ ἀκτὴ βραχυστέλεχες καὶ ἀξιόλογον δένδρον ἐς ἴασιν, καὶ ἡ συγγενὴς αὐτῇ χαμαιακτή· καὶ κύπροι καὶ φιλλυρέαι ἐν κήποις, θάμνοι ἑκάτεροι βοτρυανθεῖς, ὅ ἐστιν, ἀφ' ἑνὸς μεγάλου μίσχου πάμπολλοι ἄλλοι μικροὶ ἐκφυόμενοι καὶ ἀπαιωρούμενοι, ἕκαστοι, μονοπέταλα, σαλπιγγοειδῆ πως ἀνθήλια ἀνέχουσι, καὶ μετὰ τὴν πεταλοβολίαν, τὸν καρπὸν ὄντα ῥωγίσκοι μέλανες καὶ ἐμπύρηνοι. Η τίσα ῥουμουνιστὶ, ἣν οὐκ εἴδομεν, ἐξ ἧς αἱ εὔμορφοι ῥᾶβδοι, φύεται ἐν ὀρεινοῖς τῆς Ρουμουνίας, καὶ ἔστιν ἡ μίλος τοῦ Θεοφράστου ὡς οἰόμεθα. Ισως ἐκεῖ που ἐστὶν ἐν τοῖς ὀρεινοῖς καὶ ἡ τὰ πιεστὰ φύλλα ἔχουσα θυΐα. Η Βασσαραβία εὐφορωτέρα Μολδόβης· ὁ γὰρ πυρὸς ἐν αὐτῇ εἰκοσαπλάσιόν που ἀποδίδωσι· καὶ πρόβατα καὶ βόες πλείους καὶ καλλίους πέραν τοῦ Προύτου. Πέραν Σιρέτου ἐν τῇ ἄνω Μολδόβῃ ὁ πυρὸς οὐ πλέον ἢ τριπλάσιον ἀποδίδωσι.

## Ζῶα ἄγρια.

Ζῶα ἄγρια νέμονται τὴν χώραν, ἄρκτοι τοῦ μεγάλου εἴδους σπάνιαι, τοῦ μικροῦ κοινότεραι, ἃς ὀρχεῖσθαι μαθούσας περιάγοντες οἱ αἰγύπτιοι ἐν ταῖς πόλεσι καὶ κωμοπόλεσιν, ἀργυρίου μικροῦ τέρπεσθαι ποιοῦσι τοὺς θεωμένους· λύκοι ποιμνίων λυμαντῆρες, ἔλαφοι, δορκάδες, λαγῶν πλῆθος, ὧν καὶ δερμάτων ἐξαγωγὴ ἐς τὸ Δαΰτζλὰνδ γίνεται, ἀλώπεκες, σκίουροι. Τὸ πάλαι δὲ καὶ πρόβατα ἄγρια ἦσαν καὶ ἵπποι ἄγριοι. Βόνασοι τὸ πάλαι μὲν πλείους ἦσαν, καὶ τὰ σημεῖα τῆς Μολδόβης κεφαλὴ βονάσου ἐστὶ, νῦν δὲ σπάνιον τὸ ζῶον, ὥσπερ καὶ ἡ ἄλκη ἐν τῷ Δαΰτζλὰνδ. Εν ταῖς τῶν ἐκβολῶν τοῦ Ιστρου νήσοις καὶ λύκοι καὶ ἄρκτοι καὶ ἐνιδρύδες καὶ ἕτερα θηρία νέμονται. Πτηνῶν δὲ τῶν περιιπταμένων ἐν ὄρεσι καὶ ὑπὲρ ἑλῶν, καὶ ῥύχεων καὶ κοιλάδων καὶ ναπῶν καὶ πεδίων, εἰσὶν ὅσα γένη καὶ ἡμέρων, καί τινα τούτων ἔθνη ὁλόκληρα ὁρῶν-

ται ἐν τοῖς πεδίοις καὶ ἕλεσι· καὶ νησσῶν πλείω εἴδη ἄγρια ἤπερ ἥμερα, καὶ ἕτερα ἔτι γένη ἄγρια πλείω τῶν ἡμέρων.

Πρῶται ἐκείνων εἰσὶν αἱ ὠτίδες διὰ τὸ μέγεθος· εἰκοσαλιτραῖαι γὰρ καὶ ἐπέκεινα, πτηνὸν πανοῦργον καὶ δυσάλωτον, καὶ ἀτίθασσον· ἀγέλαι τούτων ὁρῶνται οὐ μεγάλαι· περιστερῶν πλῆθος, περδίκων, ὧν πλῆθος ἀπίθανον μεγάλου χειμῶνος ἁλίσκεται· ὄρτυγες διαβατικὰ πτηνὰ τὸν αὔγουστον καὶ τὸν σεπτέμβριον, ὀρτυγομῆτραι· γεροῦνκαι, ἃς οἱ φρανσαῖοι γελινότταις ὀνομάζουσιν· ταῦτα τὰ πτηνὰ ἐν τοῖς ὀρεινοῖς περιίπτανται κἀκεῖ βάλλονται· φάτται ἐν ταῖς ὕλαις, ἀγελαῖον πτηνὸν, σκολόπακες καὶ σκολοπάκια, περισπούδαστα τοῖς λίχνοις πτηνά· κόσσυφοι καὶ κίχλαι, ἀγέλαι μεγάλαι ψαρῶν κακῶν συντρυγητῶν ἀμπέλων· δρυοκολάπται, κίσσαι, κόρακες, συκοφάγοι, ἀγέλαι στρουθίων, σπίνοι, ἀετοὶ, γύπες, κύκνοι, ξένων πελαργῶν καὶ γεράνων ὡς ἐκτοπιστικῶν καὶ τούτων, ἀγέλαι· ἱέρακες καὶ τὸ

ὀνομαστὸν ἐς θήραν εἶδος· κολοιῶν καὶ κορωνῶν ἀγέλαι, συγκατοίκων ἀνθρώποις ἀεὶ ἐν ταῖς πόλεσι· πελικάνες πελώρια ῥάμφη ἔχοντες, καὶ τὰ λοιπά.

## Ι χ θ ῦ ς.

Ἰχθῦς χορηγεῖ ὁ παραῤῥέων Ἴστρος, καὶ οἱ ἕτεροι ποταμοὶ καὶ αἱ ἰστρολίμναι, πλῆθος ἀπίθανον, ὥστε καὶ πολλοὺς εἶναι τοὺς ἀπὸ τούτων τὸν βίον ποριζομένους. Ἁλίσκονται γοῦν ἐν τῷ Ἴστρῳ πολλαὶ μοροῦναι, ἃς οἱ παλαιοὶ ἀντακαίους ὠνόμαζον, καὶ τὰ ταρίχη τούτων ὀνομαστὰ ἦσαν ἐν τοῖς παραμεσογείοις. Τούτων ἁλιεύονται τινὲς καὶ ἐν τῷ Τύρᾳ, μέχρι τοῦ Ῥασκόβου κωμαγορᾶς ἐν τῷ ὑπονομῷ τῆς Σορόκης· ἁλιεύονται δ᾽ ἔτι πολλαὶ τούτων ἐν ταῖς ἐν ἀριστερᾷ τοῦ βορειοτάτου στόματος τοῦ Ἴστρου ποτολίμναις. Ἔστιν ὁ ἰχθὺς οὗτος ὁ μέγιστος τῶν ἐν τῷ Ἴστρῳ ἁλιευομένων ἰχθύων· χιλιαλιτραῖοι γὰρ καὶ ἐπέκεινα οἱ μείζους εἰσὶ· καὶ δι᾽ ἡδύτητα περισπούδαστος. Ἁλιεύονται δὲ καὶ

*οἱ ὁμογενεῖς αὐτῷ ἀνάκανθοι ἢ χονδρώδεις ἰχθύες, πάντες δι' ἡδύτητα ὀνομαστοὶ καὶ περισπούδαστοι ἐν τῇ χώρᾳ· ἡ βίζα, λέγω, ἣν ἐστουρζιὸν οἱ φρανσαῖοι ὀνομάζουσιν, ἕλκουσα τὸ τρίτον που τοῦ μεγίστου ἀντακαίου ἡ μεγίστη· τὸ νισέτρον καὶ ἡ πεστροῦγα, ἰχθῦς ἰσομεγέθεις τῇ Βίζᾳ, καὶ τρεῖς μὲν ἡλοσειρὰς ἔχοντες ἐπὶ τῆς ῥάχεως, δύο δὲ ὑπὸ τὴν κοιλίαν, ἑκάστην ἀπὸ τῶν βραγχίων σχεδὸν ἀρχομένην καὶ καθήκουσαν μέχρι τῆς οὐρᾶς.*

*Τὰ δύο εἴδη ταῦτα τοῦ ἀντακαίου ἁλίσκονται μᾶλλον ἐν τῷ Τύρᾳ καὶ ἐν τῇ τυροποντίῳ λίμνῃ· τέλος ἡ τζίγα, ἣν χρυσόφαρον καλοῦσιν ἐν Θράκῃ· ἁλίσκεται γὰρ καὶ ἐν Εβρῳ καὶ παρὰ τὴν Σαμοθράκην, ὡς ἠκούσαμεν· ἕλκει δὲ αὕτη ἡ μεγίστη οὐ πλέον τῶν δώδεκα λιτρῶν· πιμελὴν, ἔχει κιτρίνην. Πάντες οἱ ἰχθῦς οὗτοι τοῦ γένους εἰσὶν, ὅ περ ἀτζιπένσερ οἱ ἰχθυολόγοι καλοῦσιν· κεκλήσθωσαν δὲ ἡμῖν οὗτοι ἀ ν τ α κ α ῖ ο ι. Οι ἀντακαῖοι γοῦν οὗτοι ἰχθῦς, ἐξαιρουμένης τῆς μορούνης, ἁλί-*

σκονται καὶ ἐν τοῖς μεγάλοις ποταμοῖς τοῖς ἐκδιδοῦσιν ἐς τὸν Ἴστρον. Μορούνας δὲ μικρὰς οὔτε ἡμεῖς εἴδομεν, οὔτε ἑτέρου ἰδεῖν ἠκούσαμεν· ἴσως καὶ αἱ μοροῦναι ἐς Μαιῶτιν ἀνανήχονται, ἄῤῥενές τε καὶ θήλειαι· κἀκεῖπου, αἱ μὲν θήλειαι τίκτουσι τὰ ὠὰ, αἱ δὲ ἄῤῥενες ὀργῶσαι, καὶ τὰς θήλυς, πρὶν ἢ τεκεῖν, ἐρωτομανῶς διώκουσαι, τεκούσας ἐγκαταλείπουσι, καὶ τὸν θορὸν προϊέμεναι, τὰ νεοτεχθέντα ὠὰ καταῤῥαίνουσιν. Αὐτη καθόλου ἡ ἰχθύων ὀχεία· τινὲς γὰρ ζωοτοκοῦσι μὲν τὸ δοκοῦν, διάφορα δὲ πάντη τῶν ὄντως ζωοτόκων ὀνομαζομένων ζώων, καὶ ὥσπερ φησὶν ὁ Θεόφραστος, ἐν ἑαυτοῖς ὠο οκήσαντες ζωογονοῦσι· δελφὶν δὲ καὶ φάλαινα καὶ καχελὸν, οὗπερ νοσοῦντος ἡ κόπρος, ἡ πολυπερισπούδαστος δι' εὐοσμίαν καὶ πολλοῦ πιπρασκομένη ἄμπαρις ἐστὶ, καὶ ναρουὰλ καὶ ἐπολάρδος καὶ μαρσουῖνος, τὰ ὀνομαζόμενα κήτη, ζωοτοκοῦσι μὲν τῷ ὄντι, καὶ συμμίσγονται πρότερον, ὥσπερ χερσαῖα ζῶα, καὶ θηλάζουσι τὰ νεογνὰ, ἀλλὰ ταῦτα ἔξω-

θεν μὲν εἰσιν ἰχθῦς, ἔσωθεν δὲ χερσαῖα ζῶα ἐν δέρμασιν ἰχθύων περικεκλεισμένα.

Εκμαιευθεῖσαι δὲ οὕτως αἱ νεογναὶ μοροῦναι, ἐξέρχονται τῆς Μαιώτιδος, ταῖς γεραιτέραις πᾶσαι ἑπόμεναι, ἐς τὸν Πόντον, κἀκεῖθεν ἐς τὸν Ιστρον ἐσέρχονται. Διὰ τοῦτο καὶ πλῆθος μορουνῶν ἐν τῷ κιμμερικῷ βοσπόρῳ, ὡς ἐν στενῇ διόδῳ, ῥαδίως ἁλίσκονται, καὶ νῦν καὶ ἐπὶ Στράβωνος· ἁλίσκονται δὲ ἔτι πολλαὶ καὶ ἐν ταῖς ἀνωτέρῳ ποντολίμναις, παρεκτραπόμεναί πως τῆς ἐς τὸ στόμα ὁδοῦ. Εσελθοῦσαι δὲ ἐς τὸν Ιστρον μέχρι Πέστης ἀνανήχονται, καὶ χάουζεν δαϋτζιστὶ ὀνομάζονται, καὶ ἐν Βιέννῃ τὸ μοροῦνειον κρέας οὐκ ἄγνωστον· ἀλλ᾽ ὀλίγισται μέχρι Πέστης ἀναβαίνουσι, πλείους μέχρις Πελεγραδίου, πλείους μέχρι Βιδινίου, καὶ αἱ πολλαὶ μοροῦναι ἀναμεταξὺ Μπραΐλης καὶ τοῦ στόματος τοῦ Κελλίου νήχονται· καὶ καθόλου τὸ μέρος τοῦτό ἐστι τὸ πολυϊχθύτερον τοῦ Ιστρου. Σπάνιον δὲ πρᾶγμα μοροῦνα ἐν τοῖς ἑτέροις στόμασι τοῦ Ιστρου, ὥσπερ ἠκούσαμεν.

Τινὲς δὲ οἴονται ἄνω που τοῦ Βιδὶν τὰς μορούνας τὰ ὠὰ ἀποτίθεσθαι, κἀκεῖ που ἑπομένως τὸν ῥαντισμὸν καὶ τὴν ζωογόνησιν γίνεσθαι, καὶ τὰ ἔμβρυα διαῤῥαγέντος τοῦ περιτυλίσσοντος ὑμένος, τῆς ἰχθυακῆς ζωῆς ἄρχονται, καὶ ὡς μουρουνίδια νήχονται, τεκμαιρόμενοι τοῦτο τῷ τὰ ὠὰ τῶν μουρουνῶν ἐν Βιδὶν μείζω εἶναι ἢ περ ἐν Γαλάτζ. Τοῦτο πιθανὸν, ἐπειδὴ καθόλου καὶ ἕτερα ἰχθύων γένη ἐπὶ πολὺ ἀνανήχονται τοὺς ποταμοὺς εἰς τὴν τῶν ὠῶν ἀπόθεσιν, ὅπου καὶ τροφὴ πλείων καὶ ῥάων τοῖς νεογνοῖς, καὶ ἀσφάλεια μείζων τυγχάνει· πολλοὶ γὰρ οἱ ὠοβόροι καὶ νεογνοβόροι ἐν τοῖς ὕδασι, καὶ καθόλου ἡ πρόνοια αὕτη καὶ ἡ περὶ ταύτην σπουδὴ ἔμφυτος ὑπάρχει πᾶσι τοῖς ζώοις. Ἀλλὰ γὰρ πολλῶν πυθόμενοι καὶ παρὰ μηδενὸς μαθεῖν δυνηθέντες ποῦ γῆς μουρουνίδια φαίνονται, ἐπέχομεν. Εἰκάζομεν δὲ ἐν τῇ Μαιώτιδί που γίνεσθαι τὰ μουρουνίδια, οὐχ ὅτι Μαιῶτις καλεῖται ἡ θάλασσα, ἀλλ᾽ ὅτι ἐκεῖ μόνον τὰ μικρότερα ἁλίσκε-

σθαι ἠκούσαμεν μορουνίδια τριακονταλιτραῖα τὸ μέγεθος. Ισως καί τινες μοροῦναι ἄνω που τοῦ Ιστρου ἢ τοῦ Σάβα ἢ τοῦ Δράβα ἢ τοῦ Τισσοῦ τὰ ὠὰ ἀποτιθέασι.

Τὰ ὠὰ τῶν μορουνῶν, καὶ ἁπλῶς τῶν ἀντακαίων ἰχθύων, μελανόχροά εἰσι καὶ νεωστὶ ἡλατισμένα φαγεῖν ἥδύτατα, καὶ καταναλίσκονται ἐν τῇ χώρᾳ· τὰ δὲ πηκτὰ ὠοταρίχη τῶν μορουνῶν, ἃ κοινῶς χαυγιάριον ὀνομάζονται, καὶ ἐς πολλὰ μέρη τῆς Ευρώπης ἐξάγονται, μάλιστα δὲ ἐς τὴν Ελλάδα, και ἐξ ὧν ἐμπόριον γίνεται ἀξιόλογον, ἐκ τῶν μορουνῶν ἐστιν, αἵ περ ἐν τῷ Βόλγᾳ μυριάδες πολλαὶ κατ' ἔτος ἁλιεύονται, καὶ εὑρεῖν ἐστιν ἐν μιᾷ μορούνῃ ὠὰ ὑπὲρ τὰς ἑκατὸν λίτρας καὶ ὑπὲρ τὰς ἑκατὸν καὶ πεντήκοντα. Επαινεῖται δὲ μάλιστα τὰ περσικὰ ὠοταρίχη, ἐκ τῶν μορουνῶν, ἃς ἁλιεύουσιν ἐν τῷ Κύρῳ καὶ ἐν ἑτέροις μεσημβρινοῖς τῆς Κασπίας μέρεσι· καὶ γὰρ καὶ ὁ Κύρος ἐν Γεωργίᾳ καὶ Αλανίᾳ ῥέων, τρέφει πολλὰς μορούνας, καὶ ἐν ταῖς ἀγοραῖς ἐκεῖ τὸ μορούνειον ὠο-

*τάριχος κοινὸν ἔδεσμα. Πρὸς τοῖς ᾠοῖς δὲ καὶ κρεωταρίχη μορούνεια ἐκκομίζονται πολλὰ ἔξω τοῦ Θρακικοῦ βοσπόρου καὶ Ἑλλησπόντου· καὶ τὰ ὀνομαστὰ ξυρίχια, τάριχος ἐκ τῶν παρασπονδυλίων μυῶν· ἔτι δὲ καὶ τὰ λεγόμενα νεῦρα. Πατρὶς τοῦ ἰχθύος ὁ Πόντος, ἡ Κασπία καὶ ἡ Ἀραλία ἴσως θάλασσα, καὶ οἱ ἐς αὐτὰς ἐκδιδόντες μεγάλοι ποταμοί. Ἄξιον δὲ περιεργείας καὶ ἡ μικρότης τῶν ᾠῶν τοῦ μεγάλου τούτου ἰχθύος, ὡς κόκκος σιννάπεως ὄντων, τῶν καὶ λιτραίου ποικιλίου πολλῷ μειζόνων ὄντων, καὶ ὡς κόκκος πίσου ἢ ἐρεβίνθου.*

*Ἁλιεύονται δὲ καὶ ἐν ἑτέροις ποταμοῖς ἀντακαίου εἴδη, μάλιστα ἐν τῷ Προύτῳ βίζαι καὶ τζίγαι, καὶ ἐν τῷ Τύρᾳ νισέτρα καὶ πεστροῦγαι καὶ τζίγαι. Ἔαρος ἁλιεύονται ἐν τῷ Ἴστρῳ καὶ σκρίμπιζαι πολλαί· Λιτραῖος οὗτος καὶ ἐς ὑπερβολὴν ἡδύκρεως τεταριχευμένος καὶ νεαλὴς ἔτι μᾶλλον, καὶ τοῖς λίχνοις ἑπομένως πολὺ περισπούδαστος. Τοῦ σάλμου τῶν ἰχθυολόγων ἴσως*

εἶδος ἡ σκρίμπιτζα. Ἀλιεύονται δὲ πλησίον θαλάσσης καὶ περὶ Κελλίου καὶ κέφαλοι, καὶ φθινοπώρου, λοφάρια. Κοινὸς δὲ ἐν τοῖς τῆς Ρουμουνίας ποταμοῖς καὶ ὁ ἰχθὺς τοῦ γένους τῶν γλανίδων (σιλούρων) παρὰ τοῖς ἰχθυολόγοις, ὁ ῥουμουνιστὶ ὀνομαζόμενος σόμος, πλατύστομος πολλὰ καὶ βορὸς καὶ πίων καὶ ὑπερμεγέθης ἐνίοτε, ὥστε καὶ ὅλον ἄνθρωπον καταπίνειν ἱκανὸν εἶναι. Παρὰ τούτους ἁλιεύεται καὶ πληθὺς ἀμήχανος κυπρίνων, κράπων ῥουμουνιστὶ, καὶ ἑτέρων ἰχθύων ἐν τῷ Ἴστρῳ καὶ ἐν ταῖς ἰστρολίμναις ταῖς ἐν Βασσαραβίᾳ μάλιστα, αἵ περ ἐν ταῖς ἀναχύσεσι καὶ πλημμύραις τοῦ ποταμοῦ, ἀναπληροῦνται κυπρίνων, εἰκοσαλιτραίων καὶ ἐπέκεινα, τῶν μειζόνων, καὶ ἑτέρων ἰχθύων, καὶ ἁλιεία ἐντεῦθεν, καὶ ἐμπόριον καὶ ἐξαγωγὴ μεγάλη· ταριχευόμενοι γὰρ οἱ κυπρῖνοι ἐς πᾶσαν σχεδὸν τὴν Ρουμουνίαν μετακομίζονται, καὶ πέραν τοῦ Ἴστρου.

Εἰσὶ δὲ καὶ χειροποίητοι λίμναι πολλαὶ, ἐπὶ τῷ ἰχθυοτροφεῖα εἶναι γινόμεναι,

καὶ γίνονται ὅπου ὁ τόπος ἁρμόδιος διὰ τὴν στένωσιν τῶν κοιλάδων· ἔτι δὲ καὶ ἐπὶ τῷ ἐν παρεκτισμένοις μύλοις τὰ πολλὰ, ἱκανὸν ὕδωρ ἐς ἄλετον ἀθροίζεσθαι· καὶ οἱ κτηματικοὶ οὕτω δοιοὺς ἐξαίρονται μισθοὺς, τὸν μὲν, ἀλήθοντες· τὸν δὲ, ἁλιεύοντες. Ἐν ταύταις νέμονται νηχόμενοι, κυπρῖνοι, καράσσια, ὁμογενεῖς ἰχθῦς τοῖς κυπρίνοις· πέρκαι βορὸς ἰχθὺς, κόστριτζαι, ἃς χάννους ἐν τῇ Ἑλλάδι καλοῦσι, πλατίτζαι, καρφῶν πλήρης ἰχθῦς, ἀσπρόψαρα, καὶ οἱ λοιποί. Πάντες ὥς περ ἐν μάνδρᾳ κεκλεισμένῃ, καὶ τοῖς κτηματικοῖς ἢ τοῖς λιμνώναις, ὅταν βούλωνται, εὐάλωτοι, ἐν μέρει διὰ δικτύων, καὶ καθόλου, διασκάψασί που τὸ εἶργον χῶμα. Περισπούδαστος δὲ ἔτι ἰχθὺς καὶ ἐν ταῖς ἀγοραῖς σπάνιος καὶ πλείονος τιμῆς πιπράσκεται καὶ ἡ μιχάλτζα, τοῦ γένους μὲν τῶν γλανίδων ἢ σειούρων κοιλιακῶν ἰχθύων, παρεμφερὴς δέ πως τὴν χροιὰν καὶ τὸ σχῆμα καὶ τὴν δίαιταν τῇ ἀπόδῳ ἐγχέλει, ὅθεν καὶ δαϋτζιστὶ ἐγχελοκάμπη ὀνομάζεται·

θολεροῖς γὰρ καὶ αὕτη καὶ πηλώδεσι χαίρει ὕδασι, οὐμὴν ἀλλὰ καὶ διειδέσι, καὶ ὅπου καχληκῶδες ἐστὶ τὸ ἔδαφος τῶν ὑδάτων, ὥς περ καὶ ἡ ἔγχελυς. Ἀλεπίδωτος πάντη ὁ ἰχθύς ἐστι, καὶ μετὰ πτερυγίων μεγάλων πως, πρόσθεν μὲν παχύτερος, ὄπισθεν δὲ λεπτότερος.

Μιχάλτζαν δὲ εἴπομεν, ὥς περ μικρὸν ἀνωτέρω πέρκαν (ἕτερος ἰχθὺς ἡ πέρκη τοῦ Ἀριστοτέλους) καὶ μικρὸν κατωτέρω κλῖανος καὶ λιπάνιον ἐροῦμεν, καὶ λόστριτζαν· οὐ γὰρ ὀνοματοθετέον ἐνταῦθα, ἀλλὰ τὴν ἐπιχωρίαν λέξιν λαβόντας, ὁποῖα ποτ᾽ ἂν ᾖ, ὅπου καὶ τὸ πρᾶγμα πρῶτον ἰδόντας, ἐκφράζεσθαι δεῖ, καὶ ἐξαγγέλλειν οὑτωσὶ τὰ νοούμενα. Πολύβιος ἐκφράζειν μέλλων τὸν μικρὸν γεωρύχον λαγὼν, κόνικλον αὐτὸν ὀνομάσας, προστίθησιν· οὐκ εἰμὶ ποιητὴς ὀνομάτων, ὅθεν καὶ ἐν τῇ συγγραφῇ φυλάττω τὴν ἐπωνυμίαν, ἣν ἐξ ἀρχῆς οἱ Ἴβηρες οἱ ἑσπέριοι ἔθεντό οἱ, παρ᾽ οἷς γίνεται καὶ ἔστι πάμπολυς. Διὰ τί οὖν καὶ ἕτεροι φιλόσοφα ποιοῦντα τὸν Πολύβιον

μιμήσασθαι οὐκ ἠθέλησαν, ἀλλ' ὀργυιαίας λέξεις δοξοσόφως μάλα, ποιεῖν ἠρέσκοντο, ἐξὸν αὐτοῖς καὶ μονοσυλλάβως, ταῖς ἐπιχωρίαις λέξεσι χρωμένοις, ἐξαγγέλλεσθαι; Ἕτεροι πάλιν μεταφράζοντες ἢ μετακινοῦντες τὰ κύρια ὀνόματα, λανθάνουσιν ἑαυτοὺς ἀμαθέστατα πράττοντες.

Ἁλίσκεται δὲ καὶ πλῆθος καράβων, ἔντε ταῖς χειροκμήτοις λίμναις, καὶ ἐν τοῖς ποταμοῖς, ὅσοι λιμνάζον καὶ ἀνεπαισθήτως κυλιόμενον τὸ ὕδωρ ἔχουσι, καὶ ἐν τοῖς τῶν ποταμῶν κολπίσκοις μάλιστα, καὶ ἐν τοῖς ἕλεσιν, ὅπου ἱκανὸν ὕδωρ ἐστὶν ἱστάμενον· καὶ ἐν τοῖς παριστρίοις, εὐτελοῦς τινος κέρματος, δεκάδες ὅλαι πιπράσκονται. Ἔστι δὲ τὸ μαλακόστρακον τοῦτο παρεμφερὲς πάντη τῷ ἀστακῷ, πολὺ τῷ μεγέθει τούτου λειπόμενον· μόνον ἐν τῷ Γάγγη, ὡς ἠκούσαμεν οἱ κάραβοι ἰσομεγέθεις τῷ ἀστακῷ τυγχάνουσιν. Ου πᾶντες δὲ οἱ ποταμοὶ, οὐδὲ αἱ λίμναι πᾶσαι ἐξ ἴσου ἡδύκρεως ἔχουσι τοὺς ὁμοειδεῖς ἰχθῦς. Καθόλου ὅπου τὸ ἔδαφος λιθαρίων καὶ καχλή-

κων κατάστρωτον, ἐκεῖ καὶ οἱ νηχόμενοι ἰχθῦς ἡδυκρεώτεροι. Ταῦτ' ἄρα καὶ ὁ Τύρας ὁ πολλαχοῦ ἐπὶ ψήφων καὶ λιθίσκων ῥέων, καλλιχθύτερος. Ταῦτ' ἄρα καὶ οἱ τοῖς ὀρεινοῖς ῥείθροις χαίροντες ἰχθῦς, ἡδυκρεώτεροι. Περισπούδαστα δὲ τῶν ποταμῶν καὶ τὰ στουμπάρια καὶ τὰ γουβίδια καὶ αἱ λεγόμεναι μυριάναι. Ετερος πάντη ἰχθὺς ἡ μύραινα τῆς θαλάσσης.

Διαπορεῖν δὲ ἄξιον, τίνος ἕνεκα, οὔτε ἐν τῷ Ιστρῳ ὁρᾶται ἔγχελυς, ὥσπερ οὐδὲ κάραβος ἐν τοῖς τῆς Σιβηρίας μεγάλοις ποταμοῖς, οὔτε ἐν τοῖς ἐς αὐτὸν ἐκβάλλουσι ποταμοῖς, ἐν τοῖς ἰστρικοῖς τόποις, ἵν' οὕτως εἴπωμεν, τῶν βορειοτέρων καὶ δυτικωτέρων καὶ μεσημβρινωτέρων ποταμῶν, τῇ διαίτῃ τοῦ ἰχθύος μὴ ἐναντιουμένων· καὶ γὰρ καὶ ἐν τῷ βορείῳ τοῦ Δαϋτζλὰνδ, καὶ ἐν τῇ Ἰταλίᾳ καὶ ἐν τῇ Ελλάδι γίνεται καὶ πολύς ἐστιν ὁ ἰχθὺς, καὶ πολύτιμος καὶ ἡδύτατος, ἐκτὸς ὧν εἴδομεν τῆς Ενετίας· ἀηδὴς γὰρ πάμπαν ἐνταῦθα καὶ εὐτελέστατος. Πέμπτον ἤδη ἐνιαυτὸν ἐν τῇ Λίντζ

πόλει τοῦ ἄνω Ἐστράϊχ τυγχάνοντες, ἐπυθόμεθα εἰ ἔγχελυς εἴη ἐν τοῖς ἐκεῖ που ὕδασι, καὶ ἀπεκρίναντο ἡμῖν, ὅτι ἄνω που τινὸς ποταμίου ἁλισκοιντο ἔγχελυς, καὶ δείξειν ἡμῖν ἐπηγγείλαντο τῇ ὑστεραίᾳ, ἀλλὰ τῇ ὑστεραίᾳ, ἅμα λυκαυγεῖ ἀρχομένῳ, ἀπήραμεν, καὶ οὐχ ἑωράκαμεν, ἃ ἡμῖν οἱ ὁμογενεῖς, οἱ καλῶς γινώσκοντες καὶ διαγινώσκοντες τὴν ἔγχελυν, ὑπέσχοντο. Ἀλλ᾽ ἆρα αἱ ἐκεῖ ἐγχέλυς, εἰ ἀληθὴς ὁ λόγος, ὥς περ ἐν ἐξορίᾳ ἐκ τῆς ἐπικρατείας τοῦ Ἴστρου περιορίζονται;

Ἐν δὲ τοῖς ἐν τῇ ὀρεινῇ ῥέουσι ποταμοῖς καὶ ῥύαξι, τοῖς τὸν ῥοῦν ταχύτερον, καὶ τὸ ἔδαφος κάχληξι καὶ λιθαρίοις κατάστρωτον, καὶ τὸ ῥεῖθρον διειδὲς ἔχουσι, ἕτερα ἰχθύων ἐνδιαιτῶνται εἴδη, ὅσα ῥεύμασι καὶ καθαροῖς ἀρέσκονται ὕδασιν. Εἰσὶ δὲ οὗτοι οἱ ὀρεινοὶ ἰχθῦς, ἵν᾽ οὕτως εἴπωμεν, τῶν ἐν ἑτεροίοις ὕδασι νηχομένων, προτιμότεροι. Πρῶτοι τούτων ἰχθῦς οἱ ποικιλίαι (ἕτερος ἰχθὺς ἢ θρίσσα ἢ καὶ τὸν Νεῖλον ἀναγιχομένη) οἱ ὀνομαζόμενοι κοινῶς πέστρο-

ϱαι, λιτϱαῖοι καὶ διλιτϱαῖοι οἱ μείζους, καίτοι ἐν ἑτέροις ὕδασι τῆς Εὐρώπης εἰκοσαλιτϱαῖοι καὶ μείζους, καὶ ἐν τῷ βορείῳ τῆς Κολομβικῆς, ἐν ταῖς μεγάλαις λίμναις καὶ ἑκατονταλιτϱαῖοι ὄντες. Τοὺς δὲ μολδοβάνους, τοὺς πλείους καὶ μείζους ποικιλίας ἁλίσκειν βουλομένους, ὑπερβαίνειν δεῖ τὰ ὅρια, καὶ ἐν τῷ Αρδὲλ ἁλιεύειν· ἐκεῖ γὰρ συνηρεφεστέρων καὶ βαθυσκιωτέρων καὶ ἡσυχαιτέρων ὄντων τῶν τόπων, πλείους καὶ μείζους εἰσὶ ποικιλίαι· φιλέρημον γὰρ καὶ φιλήσυχον τὸ ζῶον. Μετὰ τοὺς ποικιλίας αἱ λόστριτζαι ἔχουσι τὰ δευτερεῖα παρὰ τοῖς γνώμωσιν ἰχθυοφάγοις. Αμφω αὗταί τε καὶ οἱ ποικιλίαι εἴδη τοῦ σάλμιου τῶν ἰχθυολόγων εἰσίν. Αι λόστριτζαι πολὺ μείζους γίνονται ἐνταῦθα τῶν ποικιλιῶν· εἰκοσιτεσσαραλιτραίας γὰρ ἑωράκαμεν. Ετι δὲ λιπάνια καὶ κλιᾶνοι, λιτραῖα τε καὶ διλιτραῖα τὰ μείζω· καὶ μιχάλτζαι, καὶ ἕτερα μικρότερα εἴδη.

## Υ δ α τ α.

Ποταμοὶ, κοινοὶ μὲν τῇ Ρουμουνίᾳ καὶ ἑτέραις χώραις, εἰσὶν ὁ Ἴστρος, ὁ Τισσὸς, ὁ Ουγγ καὶ ὁ Τύρας· ἴδιοι δὲ τῆς Ρουμουνίας, Μάρισσος, ὁ ἐν τῷ ἀνατολικῷ τοῦ Αρδὲλ τὰς πηγὰς ἔχων, οὐ πόῤῥω τῶν ὁρίων τῆς Μολδόβης καὶ τῶν πηγῶν τοῦ Ολτου, ὃς χωρίσας τρόπον τινα ἐς δύο τὸν νομὸν, καὶ ὁρίσας τὸ Μπανὰτ τοῦ Γύλα, ἐκβάλλει ἐς τὸν Τισσόν· Ολτος, οὗτος ἐν τῷ ἑώῳ τοῦ Αρδὲλ τὰς πηγὰς ἔχων, οὐ πόῤῥω τῶν τοῦ Μαρίσσου καὶ τῶν τοῦ Μπεκάζου, καὶ πρὸς δυσμὰς ῥέων, καὶ δεξάμενος πλῆθος ῥυάκων καὶ ἑτέρους ποταμοὺς, τρέπεται πρὸς τὸ νότιον πλησίον τοῦ Σιμπὶν πρὸς ἕω, καὶ ἀφορίσας τὸ Σεβηρῖνον, τὸ κραϊοβικὸν, λέγω, Μπανὰτ τοῦ καθ᾽ αὐτὸ Ρουμουνικοῦ ἀγροῦ, προσφέρει καὶ αὐτὸς τῷ Ἴστρῳ τὰ ἑὰ νάματα· Σόμοσις, συγκείμενος ἐκ δύο ποταμῶν τῷ μικρὸς καὶ μέγας διακρινομένων, καὶ ἑνουμένων, καὶ διαβὰς τὸ Γύλα, ἐξίησιν ἐς τὸν Τισσόν· Κέρες (χρυσὸς), ἐκ δύο καὶ οὐ-

τος συντιθέμενος ὁμωνύμων οἵ καὶ ἀλλήλοις, καὶ τῷ βόρειος καὶ νότιος διαστελλομένων καὶ προσδιοριζομένων, οἵ τινες ἐν τῷ δυτικῷ τοῦ Αρδὲλ πηγάζοντες, καὶ βρέχοντες τὸ νότιον τοῦ Γύλα, συμβάλλονται ἀλλήλοις καὶ γίνονται εἷς, ὅς τις ἐς τὸν Τισσὸν ἐκχεῖται· Κράσνας ἀπὸ Αρδὲλ. προσφέρει τῷ Σομόσσει τὰ ἑὰ ῥεῖθρα· Αρανιὸς, (χρυσοφόρος μοαγγνοριστὶ σημαίνει ἡ λέξις), ἀπὸ τοῦ δυτικοῦ τοῦ Αρδὲλ ἀρχόμενος, ἐς τὸν Μάρισσον ἐξέρχεται· Τέμις, ἐν τῷ ἑώῳ τοῦ Μπανὰτ πηγάζων καὶ πρὸς δυσμὰς ῥέων, ἐκβάλλει ἐς τὸν Ιστρον, οὐ πόῤῥω Πελεγράδ· Ζίουλ, ἐρχόμενος ἐξ Αρδὲλ καὶ διασχίζων τὴν Κραϊοβικὴν, ἐκβάλλει ἐς τὸν Ιστρον. Βέδε, ποτάμιον ἀναμεταξὺ τοῦ Ολτου καὶ Αρντζες· διασχίζει τὸν ὑπονομὸν Τελεορμὰν καὶ ἐκβάλλει ἐς τὸν Ιστρον. Ολίγον κατωτέρω τῆς ἐκβολῆς ἀγκών ἐσι τοῦ Ιστρου πρὸς τὸ ἀνατολικοβόρειον ἐκκλίνοντος. Ενταῦθα ἐν τῷ ἀγκῶνι τὸ μέρος τῆς Ρουμουνίας ἐστὶ τὸ νοτιώτατον.

*Ετι δὲ Αρυτζες ἐστὶν, ὅς συμβαλὼν τῇ Δυμποβίτζῃ, εκβάλλει ἐς τὸν Ιστρον· Ιαλουμίτζας, ἐκ τῶν ὀρέων κατερχόμενος καὶ δεξάμενος ἐκ δεξιῶν τὴν Μπράχοβαν ἐξ Αρδὲλ κατερχομένην, καὶ διαβὰς τὸν νομὸν ἀπὸ βοῤῥᾶ ἐς νότον, ὥς περ καὶ πᾶντες οἱ τοῦ Ρουμουνικοῦ ἀγροῦ ποταμοί, ἐκχύνεται ἐς τὸν Ιστρον· Μποζέον, πηγάζει ἐν Αρδὲλ, χείμαῤῥος μᾶλλον, καὶ πολὺς καταράσσων, ἐπικίνδυνος γίνεται τοῖς διαβαίνουσι διὰ τὴν ὀξύτητα· γενόμενος δὲ ἐν πεδίος, ἐξαλλοιοῦται καὶ πρᾶος γίνεται, καὶ συμβάλλει τῷ Σιρέτῃ· Ρίμνικον, ποτάμιον ἁλμυρὸν τὸ ὕδωρ ἔχον· Μίλκοβον, μικρὸν ποτάμιον πλησίον Φοξὰν, χύνεται ἐς τὸν Σιρέτην· καὶ ἀνωτέρω πούττα, χείμαῤῥος ἐξ Αρδὲλ καταῤῥέων, καὶ ὑπὲρ ταύτης Σούσσιτα, χείμαῤῥος καὶ αὕτη, καὶ ἑκάτεροι ἐς τὸν Σιρέτην ἐμβαίνουσι· Τροτοὺς, ποταμὸς ἐξ ἀρδὲλ κατερχόμενος, καὶ ἐς τὸν Σιρέτην ἐκ δεξιῶν ἐκβάλλων· ἔπειτα Κάσσιανον καὶ Οἴτοῦζον κάτω τῆς ὄκνης, καὶ Ουζον ἄνω*

τῆς Οκνης, ποταμοὶ ἐξ Αρδὲλ οἱ δύο ὑστερινοὶ καταῤῥέοντες, καὶ πάντες καὶ οἱ τρεῖς τοῖς τοῦ Τροτοὺς τὰ σφέτερα ἐκ δεξιῶν συμμίσγοντες νάματα.

Τὸ δὲ Οϊτοῦζον, παρ' ὃ καὶ δι' οὗ εἴσβασις (οὐ λέγω ὑπέρβασις) δι' ἁμαξητῆς ὁδοῦ ἐς Αρδὲλ, ἐν πᾶσιν οἷς εἴδομεν γεωγραφικοῖς πίναξι, κακῶς παρίσταται, ἀλλήλους ἀντιγραφόντων τὰ πολλὰ τῶν γεωγράφων, καὶ τὰ σφάλματα οὕτω διαιωνιζόντων. Ακμὴν καὶ ὁ τοῦ Μπράουερ τῆς Μολδόβης ὀργυιαῖος πίναξ, ὁ κρείσσων τῶν ἄλλων δοκῶν, ὡς ἐν τῇ χώρᾳ τάχα γενόμενος, πλήρης σφαλμάτων εὑρίσκεται ἐξεταζόμενος. Συμπεράινομεν δὲ ἐξ ὧν αὐτόπται ἐγενόμεθα ἀπὸ Μρέτζκου ἐς Οκναν ἐλθόντες, καὶ τριακοντάκις που τὸ Οϊτοῦζον διαπεράσαντες καὶ ἐν μιᾷ τῶν χερσονήσων αὐτοῦ, ἵν' οὕτως εἴπωμεν, διανυκτερεύσαντες, ἀρχομένου ἤδη χειμῶνος, καὶ τὸ ὕδωρ του ποταμοῦ ἐξικνεῖτο τῶν κοιλιῶν τῶν ἵππων, καί περ ὄμβρου ἢ ὑετοῦ μὴ προσυμβάντος. Εχει

δὲ τὰς ἀρχὰς τὸ Οΐτοῦζον ἐκ δύο ῥυάκων ἐν Ἀρδὲλ, ὧν ὁ εἷς διὰ τοῦ Μπρέτζκου ῥέει· ἀπέχει δὲ τῆς Οκνῆς περὶ τὰς ἓξ ὥρας ἀπὸ τῆς ἐπ᾽ αὐτοῦ Γκρυζὲστ κώμης μετρουμένου τοῦ διαστήματος. Τί εἴδομεν θεωροῦντες τὸν τόπον ἐν τῷ πίνακι, ὅπου καὶ τὸ πολίχνιον ἡ Οκνα, ἐν ἀριστερᾷ τοῦ Τροτοὺς ὂν, ἐς τὰ δεξιᾷ μαγικῶς μετήνεγκται, γραμμὰς ὡς ἔτυχεν ἠγμένας, καὶ οὐχ ὡς ἔχουσι θέσεως τὰ πράγματα παριστώσας.

Ταζλέυυ ποταμὸς ἐξ ἀριστερῶν ἐκβάλλων ἐς τὸ Τροτοὺς, ὅπερ καὶ τοῦτο ἐς τὸν Σιρέτην ἐκδίδωσιν, ἐξ Ἀρδὲλ κατερχόμενον· Πίστριτζα, ὀξὺς ποταμὸς ἐν τῷ ἀνατολικωτάτῳ τοῦ Γύλα πηγάζων, καὶ δεχόμενος ἐκ δεξιῶν, μεθ᾽ ἕτερα ποτάμια, τὴν Ντύρναν, τὴν Νιώγραν ποταμὸν, ἔπειτα τὴν Μπόρκαν εἶτα τὴν Πιστριτζιόραν, κατωτέρω ἔτι ἑτέραν Νίαγραν ποτάμιον, ἔτι κατωτέρω τὸν Μπεκάζον, καὶ κατωτέρω τὸν Ταρκοέου *) Πᾶντες οὗτοι οἱ

*) Τὸ ο περιττὸν ἐνταῦθα· ἐτέθη δὲ διὰ τὴν προφορὰν τοῦ κ· πρόσφερε τοίνυν τὸ κ ἐν τῇ κε συλλαβῇ, ὡς προφέ-

ποταμοὶ ἐξ Ἀρδὲλ καταβαίνουσιν. Ἐκ δὲ ἀριστερῶν δεχομένη ἡ Πίστριτζα τὸ Κρακύου ποτάμιον, συμμίσγεται τῷ Σιρέτῃ οὐ μείζονι αὐτῆς ὄντι, καὶ ἀποβάλλει τὸ ὄνομα, ἑτέρῳ προσφέρουσα τὰ διειδῆ αὐτῆς νάματα· Μολδόβα, ἐκ τῶν βορειοτάτων τῆς Μολδύβης κατερχομένη, καὶ βρέχουσα ἐξ ἀριστερῶν τὸ Ρῶμανον, ἐκβάλλει κατωτέρω ἐς τὸν Σιρέτην· Σουτζιάβα, ἐς τὸν Σιρέτην καὶ αὐτὴ ἐκχυνομένη, παρ' ἣν ἐν δεξιᾷ καὶ ἡ ὁμώνυμος πόλις ἐστίν· Σιρέτης, παρ' ὃν καὶ πόλις ποτὲ τῶν κουμάνων καὶ ῥουμούνων πρὸ τῆς τῶν μολδοβάνων ἡγεμονίας· Μπουρλὰτ, ἐν τῷ μέσῳ τῆς Μολοδύβης πηγάζων καὶ ἐξ αριστελῶν ἐκβάλλων ἐς τὸν Σιρέτην, ὅς καὶ οὗτος ἐς τὸν Ἴστρον ἐκδίδωσι, οὐ πόῤῥω τῆς Γαλατζ παριστρίου μολδαβανικῆς πόλεως· Τζέρνα μάρε, πηγάζει ἐν Καρπαθί-

ρεται καὶ πρὸ τοῦ α· οὕτω καὶ Μπακοέου, μὴ κινῶν ἐς ἀφὴν τοῦ οὐρανίσκου τὴν γλῶσσαν καὶ ἐρεισιν, ἀλλ' ἀπὸ τούτου κρατῶν, ὤθει πρὸς τὸ ἔμπροσθεν αὐτοῦ τὸν ἀέρα τὸν ἐκπνεόμενον.

οις, καὶ ὁρίζων Γάλιτζαν Μολδόβης, ἐκβάλλει ἐς τὸν Προῦτον· Προῦτος, ὑπὲρ τὸ βόρειον τῆς Μολδόβης πηγάζων, καὶ διαιρῶν ἐς δύο σχεδὸν πρότερον τὴν Μολδόβαν, νῦν δὲ ὁρίζων αὐτὴν ἀπὸ τῆς μεγάλης ἀρχῆς τῶν ῥούσσων, καὶ δεχόμενος ἐκ δεξιῶν Ζίζιαν, πλησίον Γαλάτζ, προσφέρει τῷ Ἴστρῳ τὰ θολερὰ μὲν, ποτιμώτατα δὲ αὐτοῦ νάματα. Αἱ δὲ τοῦ Ἴστρου ὄχθαι, πλησίον Γαλὰτζ, πελώριον ὕψος ἔχουσαι, ἐξιστᾶσι τὸν θεατὴν καὶ ἐμπιπλᾶσι θαύματος. Οὐδεμίας οὐδαμοῦ τηλικοῦτον ἐχούσας ὕψος εἴδομεν ὄχθας.

## Υποδιαίρεσις Ρουμουνίας.

Οἱ νομοὶ ἢ ἀγροὶ, καθ' οὓς διῄρηται ἡ Ρουμουνία διαιροῦνται πάλιν καὶ οὗτοι, εἰς ὑπονομοὺς ἢ ὑπαγρούς· καί εἰσιν οἱ ἐφεξῆς ἀρχομένοις ἐκ τοῦ ἑῴου τῆς Ρουμουνίας.

# Νομοῦ Μπασσαραβίας ὑπονομοί.

## Καουσσιάν.

Ο ὑπονομὸς οὗτος περιέχει τὸ ἀνατολικὸν καὶ νότιον μέρος τῆς κυρίως Μπασσαραβίας, καὶ τὸ Τίγιν μετὰ τῶν πέριξ κωμῶν, μέρος τοῦ ὑπονομοῦ τῆς Λαπούσνης, βίᾳ ἀποσπασθὲν καὶ προσενεχθὲν δῶρον ζητουμένης ἡγεμονίας. Περιέχει οὗτος ὁ ὑπονομὸς τὰ ἐφεξῆς ἀξιολογώτερα.

Καουσσιὰν, κωμόπολις, καθέδρα ἐνίοτε τοῦ χάνη πρότερον, ὅτε καὶ πόλις ἦν καὶ περὶ τὰς πέντε χιλιάδας οἰκιῶν εἶχεν, ὡς λέγουσι, καὶ ἔτι φαίνονται ἴχνη μείζονός ποτε συνοικίας ἢ κοινότητος· νῦν δὲ ἔχει οὐδὲ χιλίας, ξυλίνας πάσας σχεδὸν καὶ κατωγαίας, ἤγουν ἀνορόφους, δηλαδὴ ὥσπερ κοινῶς λέγομεν, ἄνευ πατώματος, οἰκητήριον τῶν ὑπονομαρχῶν· ἐν τῷ ἀνατολικῷ τῆς Μπασσαραβίας, ἐν κοιλάδι. Ο Τύρας ὑπερεκχυθεὶς ἐν ταῖς πολυομβρίαις τῆς Γαλίτζης, πλησίον αὐτῇ ἀφικνεῖται. Δια-

βαίνων δὲ ἢ ἱκόμενος ἐς Καουσσὰν, μάτην παπταινεῖς, καὶ ματαιότερον ἔτι ζητήσεις τὸν ποταμὸν τοῦ Καντεμίρη· ὄψει οὐδὲ ῥύακα.

Τίγιν, Πενδὲρ, φρούριον μέγα, ὀχυρὸν, πόλις πρότερον· νῦν σχεδὸν ἔρημον· ἐπὶ τῆς δεξιᾶς ὄχθης τοῦ Τύρα, ἐν πεδιάδι μικρᾷ μὲν, ἀλλ' ὡραιοτάτῃ, ἐστεφανωμένῃ μακρόθεν ὑπὸ γεωραχιῶν. Οἱ κάτοικοι κατοικοῦσι τὸ προάστειον, καὶ αὐτὸ σεσαθρωμένον καὶ πρόσοψιν ἔχον ἡμιερειπίου. Τὰ ὑπὲρ Τύραν ὄντα ἀναπεπταμένος τόπος, αὐξάνει τὴν ὡραιότητα τῆς τοποθεσιάς. Απέχει τοῦ Καουσσιὰν τέσσαράς που ὥρας πρὸς θερινὰς ἀνατολάς.

Ακερμὰν, τζιτάτε ἄλμπα ῥουμουνιστὶ, φρούριον ὀχυρὸν, μικρὸν, ἀλλ' ἀξιόλογον, περὶ τὰς ὀκτωκαίδεκα ὥρας πρὸς νότον τοῦ Καουσσιὰν, ἐν τῷ μέσῳ τῆς πλευρᾶς τοῦ κόλπου, ἐς ὃν ἐκδίδωσιν ὁ Τύρας. Εισὶ καὶ περὶ τοῦτο κῶμαι ῥουμουνικαὶ ὑπὸ τὴν διοίκησιν τοῦ φρουράρχου τελοῦσαι πρότερον, νῦν δὲ ὑπὸ τοὺς

ὑπονομάρχας. Οι κάτοικοι γραικοὶ, ῥουμοῦνοι, βούργαροι, ἐν τῷ προαστείῳ, οὗ αἱ οἰκίαι σχεδὸν πᾶσαι κατώγαιαι· ἔχει καὶ αὐτὸ, τρόπον τινὰ, πρόσοψιν ἡμιερειπίου. Αὕτη ἐστὶν ἡ Νικωνία τῶν παλαιῶν ἑλλήνων, ἧς ἀντικρὺ ἦν ἡ Οφιοῦσσα, νῦν βιδούπολις· κατὰ γὰρ τὸν Στράβωνα ἀπεῖχεν ἡ Νικωνία τῆς θαλάσσης σταδίους ἑκατὸν τεσσαράκοντα· ἰσοδυναμεῖ δὲ ὁ σταδικὸς ἀριθμὸς οὗτος πέντε ὥραις περίπου, καὶ τόσον καὶ τὸ τοῦ Ακερμὰν καὶ Πόντου διάστημα.

Πάντως οὐκ ἔλαθε τοὺς συνετοὺς καὶ τολμηροὺς παλαιοὺς ναυσιπόρους ἡ ὡραιοτάτη, καὶ εἰς πόλιν ἐπιτηδειοτάτη καὶ προσφυεστάτη τοποθεσία. Κεῖται μὲν γὰρ ἡ Νικωνία ἐν μικρᾷ ὁριζοντικῇ πεδιάδι, μικρὸν ἐξεχούσῃ ἐν τῷ κόλπῳ, καὶ ὅσον πέντε ὀργυιὰς ὑπερκειμένη τούτου. Τὸ ἔδαφος στερεὸν, τῆς πόλεως μετ' ὀλίγην γῆν, ἐπὶ λίθου, σομφοῦ μὲν δοκοῦντος τῇ ὄψει, διὰ τὸ σπογγοφανὲς καὶ βαθὺ σπογγόχροον, στερεοῦ δὲ τῇ ἀφῇ καὶ ἀντι-

τύπου τυγχάνοντος, βεβηκυίας. Η πεντοργυιαία ὄχθη ἀπότομός ἐστί πως, ἐξ ὑπερμεγεθῶν καὶ ἐξαισίων λίθων συνισταμένη καὶ μικρὸν τῆς ἄκρας τοῦ κόλπου ἀφίσταται, ὥστε ἀναμεταξὺ τούτων ῥαδιως καὶ πολλοὺς ἅμα ἐπὶ τοῦ αἰγιαλοῦ περιπατεῖν ἐνεῖναι, οὐχ ἕτερον μεθ' ἕτερον, ἀλλ' ἕκαστον παρὰ ἕκαστον. Ο κόλπος μακρὸς, ὅσον ἕνδεκα ὥρας, καὶ πλατὺς, περὶ τὰς δύο ὢν, πρόσοψιν οὐκ ἔχει ποταμοῦ, ἀλλὰ θαλάσσης παντάπασιν, οὐρανόχρους, κυμαινόμενος, ἀμμώδει αἰγαλῷ περατούμενος. καὶ συντεμόντι, οὐδενὶ θαλάσσης διενηνοχώς. Τὸ ὕδωρ, πνέοντος μὲν βοῤῥᾶ, γλυκὺ καὶ πότιμον, πνέοντος δὲ νότου, ἁλμυρῶδες, καὶ οὐδ' οὕτως ἄχρηστον. Εισὶ δὲ καὶ φρέατα, καὶ πηγὴ, μικρὸν ἀπέχουσα, ἡδίστου ὕδατος. Τὰ πέραν τοῦ κόλπου ἀνεπεπταμένος τόπος· τὰ πέριξ, παραπλήσια, πεδία ἐγκεκλιμένα ὀλίγον. Τῆς ὄψεως μηδὲν ἐκ γῆς ἐχούσης τὸ ἐπιπροσθοῦν, καὶ ἐπὶ ὑδάτων ἁβρῶς καὶ τρυφηλῶς περιπατούσης, οὕτως εἰπεῖν, καὶ μέχρι

τῶν πρὸ τοῦ στόματος ταινιῶν ἐξικνουμένης, καὶ τούτων ἔτι ἐπέκεινα, ἡ Νικωνία πάντως σπανίας ἔχει τὰς ἀξίας αὐτῇ παραβάλλεσθαι τοποθεσίας. Βοῤῥῆθεν, τοῦ Τύδορα λόφου ἐξικνεῖται ἡ ὄψις. Ο ἀὴρ καθαρὸς, εὐκραής· τὰ διάφορα τῶν πυρετῶν εἴδη σπανιώτατα. Κώνωπες, τὰ ὀχληρότατα ζωΰφια παρὰ τὸν Ιστρον καὶ ἐν ταῖς παρατυρίαις κώμαις, καὶ ἡμέρας ἔτι, ἐνταῦθα οὐδὲ φαίνονται. Τοιαύτη τοίνυν οὖσα ἡ τοποθεσία τῆς Νικωνίας, πάντως, εἰ καὶ χεῖρες ἀνθρώπων τῇ φύσει συνέδραμον, ἦν ἂν τῷ ὄντι ἀξία, ἐπίγειος παράδεισος ὀνομάζεσθαι. Αλλὰ κακῶς ἐκτισμένη, ἀτραποῖς μᾶλλον ἢ ὁδοῖς διακεχωρισμένη, ἐρειπίων πολλῶν ἐμπεπλησμένη, μηδὲν τὸ κοσμοῦν κεκτημένη, περαβλεπομένη, περιφρονουμένη, εἰς οἶκτον καὶ ταλανισμὸν τὸν σκεπτικὸν θεατὴν διεγείρει, νὴ τὴν ἀλήθειαν, καὶ εἰς ἄλυσιν καὶ λύπην, ἀναπολοῦντα τοῦ ἀνθρωπίνου γένους τὴν ἀθλιότητα. Οἷα δὲ καὶ τὰ πέριξ εἰσί! ἐκτὸς ἀμπέλων καὶ τι-

νων καρπίμων δένδρων, καὶ τούτων ἠμελημένων, καὶ στενωπῶν, οὐδέν ἐστιν ἰδεῖν ἕτερον.

Φέρε, νῦν, τὰ πρὸς τέρψιν καὶ ἡδονικὴν ὄψιν διηγησάμενοι, καὶ τὰ πρὸς εὐκολίαν βίου καὶ ἁρμοδιότητα πόλεως ἴδωμεν. Η Νικωνία πόλις μὲν ποτὲ, νῦν δὲ πολίχνιον παρεωραμένον, ἔχει, βοῤῥῆθεν μὲν, τὸν Τύραν πλώϊμον ποταμὸν ἐκ Γαλίτζης κατερχόμενον, ὅθεν ξύλα ναυπηγήσιμα καὶ ἐρέψιμα, καὶ πρὸς τὰς ἄλλας τοῦ βίου χρείας χρήσιμα καὶ ἀναγκαῖα, κατακομίζεσθαι ῥάδιον, καὶ ἤδη κατακομίζονται· καὶ εἰς ἐμπόριον διὰ τοῦτο δεξιὸς, τὴν μετακόμισιν ἀναμεταξὺ ἑνὸς μεγάλου μέρους τῆς Πόλσκης καὶ τῶν κάτω παρατυρίων καὶ τῶν μεσημβρινῶν εὐκολύνων· ἐκ νότου δὲ τὸν εὔξεινον πόντον, δι' οὗ τὰ τῆς Ελλάδος προϊόντα, ῥαδίως τοῖς πρὸς βοῤῥᾶν τοῦ Πόντου καὶ τοῖς παραποντίοις φοιτᾷ. Αλλ' ὁ κόλπος οὐχ ἱκανὸν τὸ βάθος ἔχει, καὶ μεγάλων πλοίων οὐκ ἀνεκτικός; Αλλ' οἱ νικωνοὶ πάλαι

πλοίοις ἐνταῦθα παρεγένοντο, τὸν Πόντον ἀναπλέοντες, καὶ τοιαῦτα τῷ μεγέθει πλοῖα, οἷά περ εἴδομεν τὸν παρελθόντα αὔγουστον, ἱκανά εἰσι τῷ ἐμπορίῳ τῆς πόλεως, καὶ ῥᾷων διὰ τούτων πολὺ ἡ τῶν φορτίων μεταφορὰ, καὶ τὸ ἐμπόριον κάλλιον ἐκτελεῖται, ἤ περ δι' ἁμαξῶν ἐν ταῖς τοῦ Δαϋτζλὰνδ πόλεσιν. Ειτα οὐ πόῤῥω ἡ θάλασσα, ὅπου λιμένες βαθεῖς ἀνεκτικοὶ μεγάλων πλοίων. Πεδία εὔφορα ἐντεῦθεν τε καὶ πέραν τοῦ κόλπου εἰσὶν, εἰκοσαπλάσιον τὸν πυρὸν ἀποδιδὸντα, καὶ νομὴν παντοδαποῖς βοσκήμασι παρέχοντα ἄφθονον· εὔγειος γὰρ καθόλου ἡ Μολδόβα, μᾶλλον δὲ ἡ Μπασσαραβία, καὶ εὐγειοτέραν ἀπὸ Ες μέχρι Παρισίου οὐκ εἴδομεν, καὶ ξυλίνοις καὶ σιτίνοις καρποῖς προσφυεστάτη, ἐκτὸς τῶν ὅσα διὰ τὸ μάλα δύσριγον αὐτῶν ἐν τοῖς ἐντοσιστρίοις οὐτελεσφορεῖ μέρεσι, ἐν ὑπαιθρίοις φυτευόμενα. Ευδοκιμεῖ ἐνταῦθα ἡ ἄμπελος καὶ οἱ βότρυς καλῶς πεπαίνονται, καὶ τοῖς ἐν Βυζαντίῳ παραβάλλεσθαι ἔχουσιν

Ἰχθῦς ἐνταῦθα ἁλιεύονται μὲν πολλοὶ, καὶ πολλὰ καὶ διάφορα εἴδη ἐστίν· ἁλιεύεσθαι δὲ πολλῷ πλείους ἔτι ἔμελλον, καὶ ἐν οὐδενὶ ἑτέρῳ μέρει τῆς Εὐρώπης οἰόμεθα τοὺς ἰχθῦς εὐωνοτέρους εἶναι· ἔστι γὰρ καὶ εὐτελοῦς κέρματος, τριλιτραῖον καὶ πενταλιτραῖον ἰχθῦν ὠνήσασθαι, καὶ ὃν ἔτι δι' ἡδύτητα περισπούδαστον, καὶ ἐν ταῖς μεγάλαις πόλεσι δέκα χρυσίων καὶ εἴκοσι καὶ ἐπέκεινά ποτε ὤνιον. Εστι μὲν οὖν κατά τι καὶ λειψανδρήσασα πολὺ ἡ πόλις παραίτιος, ἀλλὰ καὶ πολυανδροῦσα πολυϊχθυτέρα πολὺ ἂν ἦν, ἤ περ τις ἄλλη τῶν ἐν τῇ Εὐρώπῃ πόλεων. Ἀλιεύονται δὴ ἐν τῷ κόλπῳ ὅσα κοινῶς καὶ ἐν τοῖς ἄλλοις ποταμοῖς ἁλιεύονται· ἔτι δὲ καὶ ἕτερα εἴδη ἐκ θαλάσσης ἐνταῦθα ἀνανηχόμενα. Πλῆθος ἀπίθανον τῶν, αἱ γλῶσσαι κοινῶς ὀνομάζονται, φρανσιστὶ δὲ λοσ. Κέφαλοι, οἳ φιλοῦσιν ἀγεληδὸν παρὰ τὰ στόματα τῶν ποταμῶν περινήχεσθαι καὶ ὑπερνήχεσθαι πλέοντες· πυροβόλοις γὰρ ὅπλοις βάλλονται συχνάκις πλέοντες· πάντως ἀνα-

βαίνουσι τὸν κόλπον καὶ μέχρι τοῦ μυχοῦ· ἀλλὰ πανοῦργος ὁ ἰχθὺς, καὶ ἑτεροίων δικτύων χρεία ἐς τὴν τούτου ἁλίευσιν. Ἀλλὰ διὰ τὴν ἐκ λειψανδρίας ἀμέλειαν καὶ ἀφνοντιστίαν, οὐδ᾽ ἁλιεῖς διάφοροι, οὐδὲ, παρακειμένης θαλάσσης πολυΐχθυος, ἐν Νικωνίᾳ θαλάσσιοι ἰχθῦς φαίνονται. Πλήθει ὁ Πόντος τῶν κοινῶς λεγομένων σιακίων, ἅπερ οἱ φρανσαῖοι τουρμπὸ, οἱ δὲ δάϋτζοι φασιανοὺς θαλάσσης ὀνομάζουσι, καὶ ἔπλησεν ἂν καὶ ἡ τῆς Νικωνίας ἀγορὰ, εἰ τὰ πράγματα ἑτεροίως πως εἶχεν, ἢ ὥσπερ νῦν ἔχουσι. Τοὺς ἰχθῦς τούτους μικροὺς ὄντας καὶ ἐν τοῖς παραγείοις φιλοῦντας νέμεσθαι, ἢ ἐνταῦθα ἐκμαιευομένους καὶ ἀκμὴν μένοντας, οἱ παῖδες χερσὶν ἁλίσκουσι, καὶ παιδιᾶς ἢ λούσεως χάριν, ἐμβαίνοντες ἐς τὴν θάλασσαν, ὑπὸ τοὺς πόδας αὐτοῖς πατουμένων αὐτῶν αἰσθάνονται. Ἁλιεύονται δὲ ἐν τῷ κόλπῳ καὶ τὰ εἴδη τοῦ ἀντακαίου, μάλιστα δὲ πλῆθος τζίγων, καὶ νισέτρων καὶ πεστρούγων, καὶ ἐξαγωγὴ αὐτῶν ἐς τὰ πέριξ πολλὴ,

*καὶ τεταριχευμένων, καὶ νεαλῶν· καὶ ὑπὲρ τὰς δέκα ἁμάξας ἑωρακότες ποτὲ, ὧν τζίγαι ἦν καὶ πεστροῦγαι τὸ φορτίον, πρᾶγμα σπάνιον καὶ ὑπερσύνεθες δόξαν ἡμῖν, ἐθαυμάσαμεν· σπάνιον γὰρ ἐν ἀγορᾷ Ρουμουνίας τοῦτο τὸ γένος τῶν ἰχθύων, ἐκτὸς τῆς μορούνης, εἰς πώλησιν ἐκτίθεται, καὶ τοῖς ἄρχουσι μόνον καὶ τοῖς κτηματικοῖς, ὅσοι ἁλιεῖς ἰδίους ἔχουσιν, ὡς ἐξαίρετόντι προσφέρεται. Αὕτη ἐστὶν ἡ θέσις τῆς Νικωνίας πρὸς ἅ,τε εὔκολον τὸν βίον ποιοῦσι, καὶ πρὸς ἃ ἡδονικὸν καὶ χαρίεντα· καὶ δοξει ἴσως τισὶ προκατάλημμα τὰ λεγόμενα, ἀλλὰ φροντὶς ἡμῖν οὐδεμία τοῦ δόξαντος. Τόγε πρὸς ἡμᾶς, ἀπὸ Παρισίων καὶ ἀπὸ Αμστερδὰμ ἕως Μολδόβης εὐμορφοτέραν τοποθεσίαν οὐχ ἑωράκαμεν.*

*Παλάνκα, φρούριον μικρὸν, ὑπερκείμενον τοῦ μυχοῦ τοῦ κόλπου, ἔρημον, καὶ κώμη ῥουμουνικὴ παρ᾽ αὐτό. Πρότερον ἀγορὰ ἦν ἐνταῦθα καὶ διάβασις ἐς τὰ ὑπερτύρια.*

*Αναμεταξὺ Παλάνκης καὶ Πενδὲρ, παρὰ Τύραν, κῶμαι ῥουμουνικαί εἰσιν, ὑπ' ἀπεσταλμένου ἐκ Κωνσταντινουπόλεως πρότερον διοικούμεναι, αἱ εὐτυχεστεραι τῆς Ρουμουνίας διὰ τὴν τῶν κατοίκων περὶ οἰκονομίαν πρόνοιαν, καὶ τὴν εὐφορίαν τοῦ τόπου. Ανέγνωμεν ποτὲ περιγραφὴν ἑνὸς σβένσκου παριστάντος αὐτὰς ὡς ἀγροκήπια ὡραιότατα· ἰδοῦσι δὲ, οὐ πρὸ πολλοῦ, πολλοῦ ἐδέησε ἀγροκήπια τοιαῦτα φανῆναι. Εισὶν ἐν Μπασσαραβιᾷ καὶ Μολδόβῃ κῶμαι διὰ τὴν περὶ αὐτὰς ἀγροικὴν πρόνοιαν καὶ ἐπιμέλειαν πολὺ ὡραιότεραι. Εισὶ μὲν οὖν περὶ αὐτὰς λειμῶνες καρπίμων δένδρων, δαμασκηνεῶν μάλιστα, ἀλλὰ τοῦ ἀγροκήπια εἶναι πολὺ ἀπολείπονται. Ενταῦθα πλῆθος κωνώπων ὀχληρῶν μάλα, καὶ μεσουρανοῦντος ἡλίου.*

*Κελλίον, πόλις καὶ φρούριον ἐπὶ τοῦ βορειοτάτου στόματος τοῦ Ιστρου, οὐ πόῤῥω θαλάσσης, καὶ κῶμαι περὶ αὐτὴν ῥουμουνικαί.*

*Παλαιὸν Κελλίον, νῆσος προκειμένη Κελλίου, καὶ κώμη ῥουμουνική. Ενταῦθα φυόνται κυδώνια διὰ τὸ μέγεθος ἀξιόλογα. Τὰ ἐπίλοιπα νησία τῶν ἐκβολῶν τοῦ Ιστρου ἀκατοίκητα· γεωργοῦνται ἐν μέρει τινὰ, πᾶντα αὐτοφυέσι δόναξι κατάφυτα. Εν πᾶσι, μᾶλλον δὲ ἔν τινι μικρῷ νησιδίω, πλῆθος ὄφεων ἕρπουσι.*

## *Ρ έ ν.*

*Ο ὑπονομὸς οὗτος ἐκτείνεται ἐς τὸ ὑπόλοιπον καὶ δυτικὸν μέρος τῆς καθ' αὐτὸ Μπασσαραβίας.*

*Ρὲν ἡ Τομάροβα, κωμόπολις ἐπὶ τῆς ἀριστερᾶς ὄχθης τοῦ Ιστρου, πλησίον τῆς ἐκβολῆς τοῦ Προύτου, οἰκητήριον τῶν ὑπονομαρχῶν, ἡ δεξιωτέρα καὶ καλλίων θέσις ἐν τοῖς ἀριστεροῖς τοῦ Ιστρου καὶ τοῦ Προύτου εἰς ἐξαγωγὴν καὶ εἰσαγωγὴν ἐμπορικῶν φορτίων, ἐμπορεῖον.*

*Ισμαὴλ, πόλις, φρούριον μέγα· πολὺ μέντοι τῆς τοῦ Τίγιν πολυδαπάνου ὀχυρώσεως ἀπολείπεται· περίφημον καὶ*

τοῦτο, ὥς περ κἀκεῖνο, ἐκ τῶν ἐν τοῖς προϋστερινοῖς πολέμοις ἀντιστάεων καὶ αἱματοχυσιῶν καὶ ἁλώσεων. Εισὶ δὲ καὶ περὶ τὸ Ισμαὴλ κῶμαι ῥουμουνικαὶ, ὥσπερ καὶ περὶ τὰ ἀνωτέρω φρούρια, καὶ ἐν τῇ μεσογαίᾳ τῆς Μπασσαραβιας, ἔτι δὲ καὶ βούργαροι κάτοικοι. Οια δὲ καὶ τὰ ἔθνη τῶν κωνώπων, τῶν ἁιμομανῶν καὶ αἱμοφλύγων τουτωνὶ ζωδαρίων, ὀχληρότατα καὶ παντάπασιν ἀνυπόφορα. Ουχ ἑτέρων ἀκούσαντες, ταῦτα λέγομεν, ἀλλὰ πολλὰ καὶ ἀνήκεστα παθόντες, ἰδίᾳ πείρᾳ, κακῇ τύχῃ, διαβεβαιοῦμεν τὰ πράγματα. Αναπλέοντες γὰρ, κατὰ μῆνα ἰούλιον, ἀπὸ Σωληνᾶ ἐς Γαλὰτζ, νέφη ὁλόκληρα κωνώπων ἐβλέπομεν, ἅμ' ἡλίῳ δύοντι, φάλαγγας πολλῶν μυριάδων πολεμίων λυσσομανούντων ἐς ῥόφησιν αἵματος, καὶ οὐδὲ ἠρεμεῖν ὀλίγον ἦν, μήτιγε δὴ καθεύδειν· οὔμενουν οὐδ' ἐπιμύσαι ὀλίγον τὰ ὄμματα, τὸ λεγόμενον. Αμύνασθαι πάντως ἔδει τὰς ἰσχυρογνωμόνως καὶ συνεχῶς ἐπιτιθεμένας τῶν κακίστων ζωδαριών φάλαγγας.

*Ιστάμενοι γοῦν, νυκτὸς ὅλης, σόβητρον χειρόμακτρον ἔχοντες· ἑτέροις δὲ κορυφαὶ δονάκων, πρόχειρον ὅπλον, ἦσαν τὰ ἀμυντήρια, καὶ περιτετυλιγμένοι καὶ χεῖρας καὶ πρόσωπον, ὥς περ ἐς ἐκφορὰν καὶ κηδείαν ἑτοιμαζόμενοι, τὸν ἐχθρὸν μεμηνότως καὶ ἀγεληδὸν καὶ ἀκαμάντως, οἱ καθ' ἑκάστην ὥραν, οὐ καθ' ἕκαστον ὥρας λεπτὸν, ἀλλὰ καθ' ἕκαστα λεπτῶν λεπτὰ ἐπιπίπτοντα, ἀπεσοβοῦμεν καὶ ἀπεκρούομεν· καὶ μόνη ἦν ἀπαλλαλλαγὴ τοῦ κακοῦ, ὁ ἐυεργετικώτατος ἥλιος.*

### *Γκρετζέν.*

*Υπέρκειται παρὰ Προῦτον τοῦ τῆς Τομαρόβης ὑπονομοῦ, ὁ τοῦ Γκρετζὲν μικρὸς ὑπονομὸς, καὶ διὰ τοῦτο ἕνα μόνον ἔχων ὑπονομάρχην, ὥσπερ καὶ οἱ ἐφεξῆς δύο μικροὶ ὑπονομοί. Ενταῦθα καὶ ἐν τῷ ἐφεξῆς ὑπονομῷ πρὸς τοῖς ῥουμούνοις, καὶ βούργαροι πολλοὶ κάτοικοι.*

*Γκρετζὲν, πρότερον κωμόπολις ἀξιόλογος, νῦν δὲ μικρὰ κώμη καὶ ἀγορά, ὅπου οἰκεῖ καὶ ὁ ὑπονομάρχης.*

## Κόδρος.

Υπερκείμενος τοῦ ἀνωτέρω παρὰ Προῦτον μικρὸς ὑπονομός.

Λέοβα, κώμη, ἀγορὰ, οἰκητήριον τοῦ ὑπονομάρχου.

## Χοταρνιτζέν.

Μικρὸς ὑπονομὸς, εὔγειος μάλα, κωμηδὸν οἰκημένος ὑπὸ πέντε χιλιάδων οἰκαρχιῶν, ἀναμεταξὺ τῆς καθ' αὐτὸ Μπασσαραβίας καὶ τοῦ ὑπονομοῦ τῆς Λαποῦσνης κείμενος.

Γάγγουρα, μεγάλη κώμη, οἰκητήριον τοῦ ὑπονομάρχου, ἐν ἀναπεπταμένῃ καὶ οὐ πάνυτοι συγκεκλεισμένῃ κοιλάδι κειμένη, οἰκίαι περὶ τὰς πεντακοσίας· ἓξ ὥρας περίπου ἀπὸ Κισσινέου ἀπέχουσα.

## Λαποῦσνα, καὶ Ορχέϊ.

Ο ὑπονομὸς Λαποῦσνα ἀναμεταξὺ Προύτου καὶ τῆς γῆς τοῦ Τίγιν κεῖται. Τούτῳ τῷ ὑπονομῷ ἥνωται πρὸ πολλοῦ καὶ ὁ τοῦ Ορχέϊ, ὃς ὑπὲρ Μπίκον ῥύακα κεῖται, καὶ τῷ Τύρᾳ καὶ τοῖς ὑπονομοῖς

*τῆς Σορόκης καὶ τοῦ Φολέστ ἢ τοῦ Ες ὁρίζεται.*

*Κισσινέου, πόλις ἐν δεξιᾷ τοῦ ῥύακος Μπύκου κειμένη, ἐν κοιλάδι πως, ἐπὶ τριῶν ἀλλεπαλλήλων λοφοπεδίων· αἱ οἰκίαι ξύλιναι σχεδὸν πᾶσαι, αἱ πολλὰ πλείους κατώγαιαι, ἀνόροφοι, καί τινες ταπεινόροφοι, πλὴν δύω ἢ τριῶν πλίνθοις κεραμείαις ἢ πέτραις μονορόφων ἐκτισμένων, καὶ τῆς μητροπόλεως ὑπερκειμένης ὀλίγον τῆς πόλεως, καὶ ἐν λοφοπεδίῳ ἠνεωγότι παταχόθεν, κειμένης, καὶ ταῖς ὀπτικαῖς οὕτως ἀκτῖσι μηδαμόθεν τὸ ἐπιπροσθοῦν ἐχούσης. Η μητρόπολις καὶ αἱ περὶ αὐτὴν οἰκίαι, νεωστὶ πέτραις ἐκτισμέναι, ταπεινόροφοι εἰσὶν αἱ μέχρι τοῦ νῦν πᾶσαι, τῶν ὀροφῶν τρεῖς που ἢ τέτταρας σπιθαμὰς τοῦ δαπέδου ἀπεχόντων, καὶ μηδενός πω ὑπερῴου ὑπάρχοντος. Η μητρόπολις ὡραία καὶ εὖ μάλα ἐς εὐκολίαν διῃρημένη οἰκοδομὴ ἐστὶν, καὶ συνεχὴς αὐτῇ ἐστιν εὐκτήριος οἶκος, καὶ περὶ αὐτὴν, τυπογραφεῖον, καὶ αἱ λοιπαὶ ἐς οἴκησιν καὶ ἐς*

τὰς ἄλλας χρείας τοῦ βίου οἰκοδομαί. Πάντα ταῦτα περιβόλῳ λιθίνῳ ἐμπερικλείονται. Ἔξωθεν δὲ τοῦ περιβόλου ἕτεραι οἰκοδομαί εἰσιν ἐς οἴκησιν μαθητῶν καὶ διδασκάλων καὶ ἐς τὴν λοιπὴν τούτων ὑπηρεσίαν· αἱ μὲν ἤδη γεγόνασιν, αἱ δὲ γίνονται. Πρὸς νότον τῆς μητροπόλεως καὶ κῆπος ἤδη παντοίοις καρπίμοις δένδροις νεόφυτος, καί πρασιὰ ἀναμεταξὺ, ὅπου καὶ πέντε πλάτανοι πρὸ τῆς στοᾶς ἐμῇ προτροπῇ καὶ ἐπιμελείᾳ, ἐκ Κωνσταντινουπόλεως μετακομισθέντες, μετεφυτεύθησαν. Πρὸ τριῶν που ἐνιαυτῶν τὸ χωρίον τόδε χέρσον παντάπασιν καὶ κοινὸν βουβόσιον τῇ πόλει ἐτύγχανε, καὶ οὐδὲ καλύβη ὑπῆρχε, νῦν δὲ πρόσοψιν ἔχει ὡραιοτάτου κωμίου, προνοίᾳ, ἐπιμελείᾳ καὶ ἀκαμάντῳ ἐπιστασίᾳ τοῦ νῦν μητροπολίτου τῆς χώρας Γαβριήλ.

*Λαποῦσνα*, μικρὰ ἀγορὰ, ἐς τὸ δυτικὸν τοῦ Κισσινέου.

*Ορχέϊ*, κωμόπολις, παρὰ τὸ Ρέουτ ποτάμιον, ἐν ἀριστερᾷ, προκείμενον ἔχου-

σα μικρὸν πεδίον πρὸς δύοντα ἥλιον, ὅπου περὶ ἡμίσειαν ὥραν, καὶ λόφους ἑπτάπου ἑωράκαμεν. Ἐξ ἔω ἐν ἀριστερᾷ τῆς κωμοπόλεως συνέρχονται καὶ συγκλείονταί πως αἱ ῥάχεις καὶ μόνην δίοδον τῷ Ῥέουτ ἐῶσιν, ἀξιοθέατον τῷ ὄντι, ὡς ῥῆγμα φαινομένην, τυγχάνουσαν. Τοιαύτη τις σύγκλεισις καὶ περὶ ὥραν που ἀπὸ τοῦ Κισσινέου ὁρᾶται. Κλεῖδας τὰ τοιαῦτα οἱ Ῥουμοῦνοι καλοῦσι· καὶ εἰσὶ τῷ ὄντι ἀξιοθέατα ταῦτα τὰ ῥουμουνικὰ ῥυακοτέμπη.

Τελινέστ, κωμόπολις, ἀγορά.

Καλαράς, μικρὰ κώμη καὶ ἀγορὰ ἐν ἀριστερᾷ τοῦ Μπύκου.

Κρεουλὲν, ἐπὶ τοῦ Τύρα, πρὸς ἥλιον ἀνίσχοντα τοῦ Κισσινέου, μικρὰ παντάπασι καὶ ἀσήμαντος ἀγορὰ, καὶ διάβασις ἐς τὰ ὑπερτύρια.

## Σορόκα.

Ὁ ὑπονομὸς οὗτος ἔχει πρὸς ἔω τὸν Τύραν, πρὸς βοῤῥᾶν, τὸν ὑπονομὸν τοῦ Χοτὶν, πρὸς δυσμὰς, τὸν τοῦ Φολὲστ,

*καὶ πρὸς νότον τὸν τοῦ Ορχέϊ. Μάϊον ὀλίγον ἐνταῦθα καὶ οἱ κωμῆται χρῶνται ἐς σίτησιν ἄρτῳ πυρίνῳ μᾶλλον ἢ μάζῃ μαΐνῃ.*

*Σορόκα, μικρὰ νῦν κωμόπολις ἐπὶ τῆς ῥίζης ῥάχεως πετρώδους μᾶλλον ἢ γεώδους κειμένη, παρὰ τὸν Τύραν, οἰκητήριον τῶν ὑπονομαρχῶν. Ενταῦθα καὶ μικρὸν φρούριον ἐστὶ πέτρινον, ὑψηλὸν, πίπτειν πανταχόθεν ἐς ἐρείπιον πρὸ πολλοῦ ἀρξάμενον.*

*Ράσκοβον, κώμη καὶ ἀγορὰ ἐπὶ τοῦ Τύρα, οὐ πόῤῥω τοῦ ὑπονομοῦ τοῦ Ορχέϊ.*

*Ατάκιον, ἢ Μοϊλόβ, κωμόπολις παρὰ τὸν Τύραν, πρὸς τὸ βόρειον τῆς Σορόκης, ἀντικρυνὴν ἐν Ρουσσίᾳ ἔχουσα πόλιν τὸ Μοϊλόβ. Εντεῦθεν ὁδὸς ἀπὸ τῶν μεσημβρινῶν ἐς τὰ βόρεια.*

*Μπέλτζ, κωμόπολις, ἀγορὰ πλησίον τοῦ ὑπονομοῦ τοῦ Φολὲστ. Ενταῦθα ζωοπανηγύρεις πολλαὶ ἐτήσιαι γίνονται, καὶ ὁδὸς ἐστιν ἀπὸ Τυρκίας ἐς Ρουσσίαν· ἐν ἀναπεπταμέμῳ τόπῳ ὅθεν καὶ λόφοι ὁρῶνται.*

## *Φ ο λ έ σ τ.*

*Ο ὑπονομὸς οὗτος, τὸ πολὺ μεῖζον μέρος τοῦ ὑπονομοῦ τοῦ Ες τυγχάνων, ἐξαπλοῦται παρὰ τὸν Προῦτον. Φολὲστ, κώμη, ἀγορὰ, οἰκητήριον τῶν ὑπονομαρχῶν.*

## *Χ ο τ ί ν.*

*Ο ὑπονομὸς οὗτος ἀναμεταξὺ Προύτου καὶ Τύρα κεῖται, τῇ Γαλίτζῃ ἐκ βοῤῥᾶ, καὶ τοῖς ἀνωτέρω ὑπονομοῖς ἐκ νότου ὁριζόμενος.*

*Μπρετζὲν, κώμη καὶ ἀγορὰ, οἰκητήριον τῶν ὑπονομαρχῶν.*

*Χοτὶν, φρούριον, πόλις ποτὲ, ἐπὶ τοῦ Τύρα.*

*Τῆς ὑποχωρηθείσης ταυτησὶ ὑπερπρουτίου χώρας ὑπὸ τῶν τύρκων τοῖς ῥούσσοις, ἥπερνῦν Μπασσαραβία καλεῖται, οἰκαρχίαι εἰσὶ, τοῦ μὲν ἀποχωρισθέντος νῦν μέρους τῆς Μολδόβης, τὸ μέγα λέγω μέρος τοῦ ὑπονομοῦ τοῦ Ες, καὶ τοὺς ὑπονομοὺς Σορόκαν, Ορχέϊ, Λαποῦσναν, Χοταρνιτζὲν, Κόδρον καὶ Γκρετζὲν, περὶ τὰς*

*τεσσαράκοντα χιλιάδας· τοῦ δὲ πρὸ ἑκαντονταερίδος ὅλης ἤδη ἀποχωρισθέντος πολυκατοίκου ὑπονομοῦ Χοτὶν, ὑπὲρ τὰς εἴκοσι χιλιάδας· θῶμεν δὲ καὶ δέκα χιλιάδας τῆς καλλιπόου καὶ πολυκαλλίχθυος κυρίως Μπασσαραβίας καὶ τοῦ μέρους τοῦ Τίγιν. Εισὶν οὖν σύμπαντες οἱ κάτοικοι νῦν τῆς ῥουσσικῆς Μολδόβης ἢ Μπασσαραβίας ὑπὲρ τὰς ἑπτὰ μυριάδας οἰκαρχίαι· εἴη δ' ἂν κατοικητὴ καὶ τεσσαρεσκαίδεκα μυριάσιν οἰκαρχιῶν· καὶ εἴκοσι εἰπόντες, ὑπερβολὴν πάντως οὐκ ἂν εἴημεν εἰρηκότες.*

## *Νομοῦ Μολδόβης ὑπονομοί.*

### *Κουχουρλουΐ.*

*Ο ὑπονομὸς οὗτος τὸ νοτιώτατον τῆς Μολδόβης ἐπέχων, ὁρίζεται τῷ Ἴστρῳ τῆς Δομπρίτζης, τῷ Σιρέτῃ, τῆς γῆς τῆς Μπραΐλης, καὶ τῷ Προύτῳ, τῆς Μπασσαραβίας.*

*Γαλὰτζ, πόλις ἐν τῇ ἀριστερᾷ ὄχθῃ τοῦ Ἴστρου, ἀναμεταξὺ τῶν ἐκβολῶν τοῦ*

Προύτου καὶ τοῦ Σιρέτου. Ἐνταῦθα ἀφικνοῦνται πολλὰ μικρὰ καὶ μεγάλα πλοῖα ἐκ τῶν παραποντίων καὶ ἐκ τῆς Κωνσταντινουπόλεως, ἀναπλέοντα τὸ στόμα τοῦ Ἴστρου τὸν Σωληνᾶν, κομίζοντα ἐς Ρουμουνίαν ὅσα γῆ φέρει καὶ χεῖρες ἐργάζονται ἐν τοῖς παραποντίοις καὶ παραμεσογείοις, καὶ ἁπλῶς, ἐν τοῖς μεσημβρινοῖς μέρεσι, καὶ ἀντιφορτιζόμενα ἐνταῦθα, κομίζουσιν ἐκεῖσε, ὅσα ἡ γῆ τῆς Ρουμουνίας φέρει καλά. Ἐξάγονται μὲν οὖν διὰ Γαλὰτζ, πυρὸς πολὺς, κριθὴ, μάϊον, λίνον, φασίουλοι, ῥακίον, μέλι, κηρὸς, βούτυρον, πιμελὴ, δέρματα βοῶν, στέαρ, κρεωταρίχη, ἰχθυοταρίχη, καπνοσωλήνια ἐκ βιόρμου, ξύλα ναυπηγήσιμα, ξύλα ἐρέψιμα, σανίδες ἐλάτιναι καὶ πιτύϊναι, ἱστοὶ καὶ κερέαι, ταμπάκος, ἄνισον, ξηρὰ δαμάσκηνα, ψίαθοι, κάλοι φιλύρινοι, ταμπακοκόνις, κοβᾶδες καὶ τὰ λοιπά. Εἰσάγονται δὲ, ἔλαιον, ἐλάαι, σαπώνιον, ὄρυζα, ἐρέβινθοι, ταρίχη ἰχθύων θαλάσσης, ὡς πηλαμίδες, σαπέρδαι, ἀμίαι, κολίαι,

ὠοταρίχη κεφάλων, λεμόνια, πορτοκάλια, κίτρα, οἶνος, βάμβαξ, νῆμα; μέταξα, ῥάμματα μετάξινα, σειράδια μετάξινα, πλεκταὶ μεταξοταινίαι, πανία μεταξωτὰ διαφόρων εἰδῶν, Ἰνδίας καὶ Τυρκίας, ζῶναι Ἰνδικαὶ διάφοροι, ζῶναι ἐκ τῶν παραμεσογείων, χειρόμακτρα, προσώπια σεραϊκὰ, τὰ κάλλιστα πάντων, πανία σκεπασμάτων, καλυπτήρια ἑβραίοις Συρίας ἐριουργήματα ῥινόμακτρα, περιπόδια καὶ περικνήμια ἐριᾶ καὶ βαμβάκινα, κνημίδες, σανδάλια, χάρτης, λίνον, κάστανα, ἀσταφίδες, ἰσχάδες, πιτυΐνα κάρυα, ῥοιαὶ, φοίνικες, καφὲς, λεπτοκάρυα ποντικὰ, καεσσὰ ξηρὰ, ἀμύγδαλα μετὰ κελυφῶν καὶ ἄνευ κελυφῶν, σάκχαρι, κεράτια, θυμίαμα, μαστίχη, φρυκτοὶ ἐρέβινθοι, διάφορα φάρμακα, καὶ ὅσα εἰς Κωνσταντινούπολιν ἐξ Ἀσίας καὶ Ἀφρικῆς καὶ Εὐρώπης ἀφικνοῦνται καλά.

## Φ α λ τ ζ ί.

Ὁ ὑπονομὸς οὗτος ὑπέρκειται τοῦ ἀνωτέρω ἐξ ἔω, παρὰ Προῦτον.

*Φαλτζὶ, κώμη, ἀγορὰ, οὐ πόῤῥω τοῦ Προύτου.*

*Χοῦς, κωμόπολις, ἐπισκοπὴ, οἰκητήριον τῶν ὑπονομαρχῶν. Ενταῦθα πλησίον τῆς κωμοπόλεως καὶ τὸ δι' εὐοινίαν περίφημον γήδιον ἐστίν. Εν τούτῳ τῷ ὑπονομῷ πρὸς τὴν θερινὴν τροπὴν τοῦ Χοὺς, οὐ πόῤῥω τοῦ Προύτου, ἐκ δεξιῶν, ὁρᾶται καὶ ὁ περίφημος λόφος Μοΐλα ῥαμπόϊα διὰ τὴν τοῦ μεγάλου πέτρου περίστασιν.*

## *Ε ς.*

*Ο ὑπονομὸς οὗτος ὑπέρκειται τοῦ ἀνωτέρω παρὰ τὸν Προῦτον, μικρὸς νῦν, τοῦ μείζονος μέρους τοῦ πέραν τοῦ Προύτου ὑποχωρηθέντος τοῖς ῥούσσοις.*

*Ες, ὥσπερ οἱ ἐπιχώριοι λέγουσιν, ἢ, εἰ βούλει, Εσσιον, ἢ Ιάσσιον, πόλις ὑπερκειμένη δυσώδους ῥύακος Μπαχλουΐ ὀνομαζομένου, μικροῦ πάμπαν ποταμίου καὶ παιδαρίοις διαβατοῦ· ἔστι δὲ ἰδεῖν ἐν πολυομβρίᾳ τοῦτο, ἐξαίσιον διὰ τὸ μέγεθος γινόμενον. Μητρόπολις τῆς Μολδόβης,*

οἰκητήριον τῶν ἡγεμόνων, κτισθὲν μὲν πρῶτον ὑπὸ τοῦ μεγάλου Στεφάνου ἐπ' ὀφρύος ὑπερκειμένης τοῦ ῥύακος, ἐφ' ᾧ τὴν χώραν ὡς ἀπὸ κέντρου περιέπειν εὐκολώτερον δύνασθαι, οἰκητήριον δὲ τῶν ἡγεμόνων ἐν τοῖς μετ' αὐτὸν ἡγεμόσιν ἐγένετο. Τῶν ἐν τῷ περιτειχίσματι παλαιῶν ἡγεμονείων ἐμπρησθέντων ἤδη τριακοστόν που ἔτος, καὶ ἐρειπίων μεινάντων, τὰ κτισθέντα ὑπὸ τοῦ Ἀλεξάνδρου Μορούζη ἡγεμόνος, τὰ πρωτεῖα φέρει ἴσως πάντων τῶν ἐν τῇ Τυρκίᾳ κτισμάτων, διά τε τὸ μέγεθος καὶ τὴν λοιπὴν ἡγεμονικὴν πολυτέλειαν καὶ μεγαλοπρέπειαν. Πρὸς τούτῳ δέ εἰσι καί τινες οἰκίαι εὔδμητοι, καὶ ταῖς ἐν Βιέννῃ καὶ Παρισίοις παραβάλλεσθαι ἄξιαι, καί τινες ἐκκλησίαι. Αἱ πολλαὶ οἰκίαι ἐνταῦθα κατώγαιαι, ἢ ταπεινόροφοι, ὀλίγαι δὲ μονόροφοι, διόροφος δὲ μία μόνη. Τέσσαρες οἰκίαι ἀρχοντικαὶ ἐν περιτειχίσμασι κεῖνται, καὶ ἡ μητρόπολις, καὶ δύο ἔτι ἐκκλησίαι, καὶ πλείους ἐν μέσῳ περιβόλων ἐκ σανίδων προσηρμοσμένων· αἱ λοιπαὶ δὲ

φραγμοὺς κλωνοπλέκτους ἔχουσι καὶ τεθριγκωμένους θριγκοῖς ῥαβδιοπλέκτοις, ἢ ἐκ κλάδων μεσπίλου, τῶν ὑπερπηδόντων κυνῶν καὶ ἀνθρώπων ἐμπόδιον. Καθόλου δέ κακῶς ἔκτισται ἡ πόλις καὶ χεῖρον ἔστρωται, καί τοι πολλῆς ἐς ὁδοστρωσίαν γινομένης δαπάνης· δοκοῖς γὰρ πόῤῥωθεν κομιζομέναις ἔθος ἐστὶν ἐνταῦθα τὰς πρωτευούσας ὁδοὺς στρωννύειν, αἱ δὲ λοιπαὶ μένουσι πάντη ἄστρωτοι, καὶ πηλοβόρβοροι αὐτόχρημα γίνονται καὶ ἀδιάβατοι, ἐν ταῖς πολυομβρίαις καὶ ἐν ὑετοῖς ἔτι. Εισὶ δὲ καὶ αἱ πρωτεύουσαι ὁδοὶ, χειμῶνος μὲν, ὅτε τὸ ψύχος οὐχ ἱκανὸν ἐς πῆξιν τοῦ πηλοῦ, καὶ θέρους ἐν ὑετοῖς, πλήρεις πηλοῦ, θέρους δὲ ἐν αὐχμοῖς, κονιορτοῦ, καὶ ἐν νέφεσι κονιορτοῦ συχνάκις τοὺς κατοίκους βαδίζειν ἢ ἐλαύνειν ἀνάγκη. Καὶ ἔστι τῷ ὄντι ἐλεεινὸν θέαμα, (οὐ γάρ ἐστι πᾶσι δι' ὀχημάτων ἐλαύνειν) ἐν τῷ πηλῷ βαδίζοντα καὶ αὐθαδέσιν ὀχήμασι καταπηλακιζόμενον βλέπειν τὸν πολὺν ἄνθρωπον, καὶ καθ' ἑκάστην οὐ τοῖς ποσὶ μόνον ἀλλὰ

καὶ ταῖς κνήμαις ὅλαις φύρθοντα τὸν πηλὸν, ἐνίους δὲ καὶ πανημέρους. Σαροῦνται μὲν αἱ ὁδοὶ ἐνίοτε, ἀλλ' ἔκ τε τῶν δευτεραίων ὁδῶν καὶ ἐκ τῶν περὶ τὴν πόλιν ὁδῶν, ἀστρώτων καὶ αὐτῶν οὐσῶν, πλεῖστος ὅσος πηλὸς, τοῖς τῶν πολλῶν ἁμαξῶν καὶ τῶν λοιπῶν ὀχημάτων τροχοῖς προσκολλώμενος ἐπὶ τῶν ἐστρωμένων ὁδῶν μετακομίζεται, καὶ μεθ' ἡμέραν πηλοῦ γέμει τὸ πᾶν καὶ σαρμάτων καὶ ῥυπαρύτητος καὶ δυσωδίας διὰ τὴν δυσοδίαν. Εστι δὲ ἰδεῖν ἐνίοτε ἀπὸ τῶν ἄνω εἰς τὰ κάτω, ὥς περ ἐκ κρατῆρος τινὸς ἐκραγέντος, λιγνὺν καταφερομένην ἕτεροι βλέπουσι, οἱ καταναῖοι καὶ οἱ νεαπολῖται, πηλὸν ἐπὶ τῶν ὁδῶν ῥέοντα. Οι κάτοικοι τῆς πόλεως περὶ τὰς τεσσαράκοντα χιλιάδας.

Στεφανὲστ, κωμόπολις ἐπὶ τοῦ Προύτου.

## Δ ο υ ρ ο χ ό ϊ.

Ο ὑπονομὸς οὗτος ὑπέρκειται τοῦ ἀνωτέρου παρὰ τὸν προῦτον.

Δουροχόϊ, κωμόπολις παρά τινα λί-

*μνην τὴν μόνην αὐτοφυᾶ ἐν Μολδόβῃ, κατοικητήριον τῶν ὑπονομαρχῶν.*

## *Χέρτζα.*

*Χέρτζα, (πρόφερε τὸ χ ὡς πρὸ τοῦ α), μικρὸς ὑπονομὸς καὶ κώμη καὶ ἀγορὰ, οἰκητήριον τῶν ὑπονομαρχῶν.*

*Εντεῦθεν δὲ ἐπὶ τὸ νότιον τρεπόμενοι, ἔχομεν*

## *Ποντοσσιάν.*

*Ο ὑπονομὸς οὗτος μικρός ἐστι, καὶ ἐντεῦθεν ἔχει τὴν πρόσοδον ἡ δόμνα· οὕτως ὀνομάζεται ἡ σύζυγος τοῦ ἡγεμόνος.*

*Ποντοσσιὰν, πόλις ἐν ἀναπεπταμένῳ τόπῳ, δευτέρα μετὰ τὸ Γαλὰτζ, ἐμπορικὴ, οἰκητήριον τῶν ὑπονομαρχῶν.*

## *Χυρλέου.*

*Χυρλέου, (πρόφερε τὸ χ ὡς πρὸ τοῦ α), μικρὸς ὑπονομὸς καὶ κωμόπολις, οἰκητήριον τῶν ὑπονομαρχῶν. Ου πόῤῥω, τῆς κωμοπόλεως πρὸς δυσμὰς κεῖται τὸ Κοτνὰρ, περίφημον διὰ τὴν εὐοινίαν. Η*

κωμόπολις περὶ τὰς ὀκτὼ ὥρας πρὸς βοῤῥᾶν τοῦ Ες κεῖται.

### Κυρλιγατοῦρα.

Κυρλιγατοῦρα (πρόφερε τὸ κ ὡς πρὸ τοῦ α), μικρὸς ὑπονομὸς, πρὸς δυσμὰς τοῦ Ες.

Τιργοφορμὸς, ὡραίαν ἀγορὰν σημαίνει ἡ λέξις, εἴρηται δὲ κατ᾽ ἀντίφρασιν· οὐδὲν γὰρ ὡραῖον ἄλλο ἐνταῦθα ἢ τὸ ὄνομα· κωμόπολις, οἰκητήριον τῶν ὑπονομαρχῶν.

### Ρώμανον.

Ο μικρὸς ὑπονομὸς οὗτος κεῖται πρὸς χειμερινὰς δυσμὰς τῆς Κυρλιγατοῦρας, περὶ τὸν Σιρέτην.

Ρώμανον, πόλις, ἐπισκοπὴ, ἐν ὡραιοτάτη πεδιάδι, ἀναμεταξὺ Σιρέτου καὶ Μολδόβης, ἐπὶ τῆς ἀριστερᾶς ὄχθης τῆς Μολδόβης οἰκητήριον τῶν ὑπονομαρχῶν.

### Βασλόυϊ.

Μικρὸς ὑπονομὸς, κεῖται πρὸς ἕω τοῦ ὑπονομοῦ τοῦ Ρωμάνου, καὶ πρὸς νότον τοῦ Ες.

*Βασλουΐ, κωμόπολις μικρὰ, ἐν τῇ μεγάλῃ ὁδῷ τῇ ἀπὸ Κωνσταντινουπόλεως ἐς Ες καὶ Ρουσσίαν, ὥς περ καὶ αἱ κατωτέρω τρεῖς.*

*Τ ο ύ τ ο β α.*

*Μικρὸς ὑπονομὸς πρὸς νότον τοῦ ἀνωτέρω.*

*Μπουρλὰτ, πόλις παρὰ τὸ ὁμώνυμον ποτάμιον, ἐν κοιλάδι, οἰκητήριον τῶν ὑπονομαρχῶν.*

*Τ ε κ ο ύ τ ζ.*

*Μικρὸς ὑπονομὸς καὶ κωμόπολις, ὅπου οἰκοῦσι καὶ οἱ ὑπονομάρχαι.*

*Π ο ῦ τ ν α.*

*Ο ὑπονομὸς οὗτος κεῖται πρὸς δυσμὰς καὶ νότον τοῦ ἀνωτέρω, καὶ ἀνήκει βοῤῥῆθεν μέχρις Αρδὲλ καὶ τοῦ κατωτέρω ὑπονομοῦ. Ενταῦθά ἐστι καὶ τὸ Οδομπέστ, τὸ ἐξ εὐοινίας καὶ πολυοινίας περίφημον, ὅθεν πολὺς οἶνος ἐς Ρουσσίαν ἐξάγεται, καὶ τρυγητοῦ, πανήγυρις τρόπον τινὰ διονυσιακή ἐστιν ἐνταῦθα, πολλῶν πολλαχόθεν συῤῥεόντων.*

Φοξὰν, πόλις ἐν πεδίῳ ἐκ νότου μέχρι Μπραΐλης καθήκοντι, πόῤῥωθεν δὲ ὄρεσι βοῤῥῆθεν ἐστεμμένῳ, καὶ θέας εὐμοιροῦσα οὕτως ὡραιοτάτης καὶ ὑγιεινοῦ περιέχοντος. Κοινὴ ἡ πόλις τοῦ Ρουμουνικοῦ ἀγροῦ καὶ τῆς Μολδόβης, καὶ ῥεῖθρον χειροποίητον ἐκ Μιλκόβου διαῤῥέον, ὁρίζει θάτερον θατέρου μέρους τῆς πόλεως.

Ἀζιοὺτ, κώμη μικρὰ καὶ ἀγορὰ, ἐν τῇ συμβολῇ τοῦ Τροτοὺς, καὶ τοῦ Σιρέτου κειμένη.

Πάλιν δὲ ἐπιστρέφοντες πρὸς τὸ βόρειον καὶ τὴν ἐστραϊχικὴν Ρουμουνίαν παραπορευόμενοι, ἔχομεν τοὺς ἐφεξῆς ἀκρηνοὺς ἐκ δυσμῶν καὶ βοῤῥᾶ τῆς Μολδόβης ὑπονομούς.

## Μπακοέου.

Μπακοέου, (τὸ ο περιττὸν ἐνταῦθα· παρενεβλήθη δὲ ἵνα τὸ κ ὡς πρὸ τοῦ ο προφέροιτο), ὑπονομὸς διήκων ἐκ δυσμῶν ἄχρις Ἀρδὲλ, καὶ κωμόπολις ἐν αὐτῷ

ὁμώνυμος, ἐν πεδιάδι, παρὰ τὴν πλησίον καταῤῥέουσαν Πίστριτζαν, ἐν δεξιᾷ ταύτης κειμένη, οὐ πόῤῥω τῆς συμβολῆς ταύτης τε καὶ τοῦ Σιρέτου, ὅπου καὶ οἱ ὑπονομάρχαι ποιοῦνται τὴν οἴκησιν.

Οκνα, κωμόπολις, ἐν ἀριστερᾷ τοῦ ἐν πετρώδει δαπέδῳ κατακυλιομένου καὶ παταγοῦντος Τροτοὺς κειμένη, ἐν συγκεκλεισμένω μὲν τόπῳ, ὑγιεινῷ δὲ τῷ περιέχοντι ἀέρι, ὅσον τεκμαίρεσθαί τις ἔχει, τὰς ἑαυτοῦ πρὸς τὰς τῶν κατοίκων ταύτης τε καὶ τῶν πλησιοχώρων, ὄψεις ἀποτεινόμενος. Καθόλου τὰ πέραν τοῦ Σιρέτου τῆς Μολδόβης ὑγιεινότερα. Ενταῦθα ἤδη τρισκαιδέκατον ἔτος θερίζοντες, γέροντα κωμήτην εἴδομεν, καὶ ποσαετὴς ἐστιν αὐτοῦ ἀκοῦσαι βουλόμενοι, αὐτοῦ ἐπυθόμεθα· ὁδὲ ἀπεκρίνατο, ὅτι μὴ εἰδείη, μεμνῆσθαι δὲ ἔφη τοῦ πολέμου, καθ' ὃν ὁ μέγας Πέτρος ἐντὸς Προύτου παρὰ τὸν ὀνομαστὸν λόφον Μοΐλα ῥαμπόϊα ἐτύγχανε· καὶ ἐξ ὧν προσέθη, τὴν φιλαλήθειαν καὶ ἀψεύδειαν τοῦ ἁπλοῦ καὶ σε-

βασμίου κωμήτου γέροντος ἦν διιδεῖν ἀναμφίβολα. Ὑπέρκειται δὲ τῆς Οκνης περὶ πέντε που τέταρτα ὥρας, τὸ Δαρμανέστ μικρὰ κώμη ἐν ὡραιοτάτῳ πεδίῳ κειμένη ἐν δεξιᾷ τοῦ Τροτοὺς, παρ' ἣν καταῤῥέει ἐπὶ λιθαρίων καὶ καχλήκων ὁ ποταμὸς Ούζον ἐξ Αρδὲλ κατερχόμενος, τῆς τῶν οὔζων ἐν Ρουμουνίᾳ ἡγεμονίας καὶ κατοικίας μνημόσυνον. Περὶ ὥραν που πάλιν ἄνω τοῦ Δαρμανὲστ, ἐν σιγηλῇ καὶ συσκίῳ καὶ λασίῳ νάπῃ, οἷα οἱ σκεπτκοὶ καὶ σπουδαῖοι περὶ φύσιν ἀρέσκὸνται, τὸ Κουμανὲστ ἐν ἀμφοτέραις ταῖς ὄχθαις τοῦ μὴ σιωπηλῶς καταῤῥέοντος Τροτοὺς κεῖται, κώμη ἐν ᾗ καὶ φυλακάρχης τῆς ἄκρας ἐστὶ, μνημόσυνον καὶ ἄυτη τῆς πάλαι τῶν κουμάνων ἐξουσίας ἐνταῦθα καὶ ἐνσκηνώσεως.

Μοϊνέστ, μικρὰ κώμη καὶ ἀγορὰ πρὸς ἕω, περὶ ὥραν ἀπέχουσα τοῦ Κουμανὲστ. Ενταῦθα ἐξαίρεται ὑγρὰ ἄσφαλτος, ᾗ οἱ Μολδοβάνοι ἀλείφουσι τὰς τόρμας καὶ τὰ ἀκραξόνια τῶν ἁμαξῶν καὶ ὀχημάτων, τὴν

ἐκ τῆς σφοδρᾶς καὶ βιαίας τρίψεως πυροέκρηξιν οὕτω κωλύοντες. Εξαίρεται δὲ καὶ ξηρὰ, ἣν κηρὸν ὀρυκτὸν μέλανα εἶναι οἴονται.

## Νιάμτζον.

Πρὸς βοῤῥᾶν τοῦ ἀνωτέρω ὑπονομοῦ ὁ ὑπονομὸς οὗτος κεῖται, καὶ συνέχεται ἐκ δυσμῶν τῷ Αρδέλ. Ενταῦθα κεῖται τὸ Τζιαχλέου τὸ ὑψηλότερον ὄρος τῆς Μολδόβης, ἴσως καὶ πάσης τῆς Ρουμουνίας. Ενταῦθα καὶ πέτραι μεγάλαι ὁρῶνται.

Κιάτρα, κωμόπολις, οἰκητήριον τῶν ὑπονομαρχῶν, ἐν συγκεκλεισμένῳ τόπῳ, ἐν ἀριστερᾷ τῆς Πιστρίτζης, οἰκητήριον τῶν ὑπονομαρχῶν. Η ὁδὸς ἐντεῦθεν μέχρι Ρωμάνου ἢ Μπακοέου ἐν ὁμαλῷ τόπῳ· ἡ γὰρ πεδιὰς, ἐν ᾗ τὸ Ρώμανον καὶ τὸ Μακοέου κεῖνται, ἕως ἐς Κιάτραν ἐκτείνεται. Ετι δὲ καὶ ἀπὸ Οκνης μέχρι Φοκσὰν· ἀλλὰ πορευομένῳ ἐς Οκναν, ἐξ ὁποτερασοῦν τῶν ἄνω δύω κωμοπόλεων, ὑπερβῆναι ἀνάγκη ἅπαξ καὶ δὶς γεωραχίας ἢ γεωλοφίας, μεγάλας, ὧν ἐν τῷ ἀνάν-

τει ἐστὶν ἡ ὁδὸς, ἐξ ἑκατέρου μέρους οὐ μικρὸν τὸν κρημνὸν ἔχουσα· καὶ ἱππάσιμος μὲν καὶ ἁμαξήλατος, δύσοδος δὲ καὶ δυσδιάβατος, καὶ βαδίζειν ἀνάγκη τισὶν ἐνίοτε, οἷς δέος ἐστὶν ἀναπολοῦσι τὰ ἐνδεχόμενα.

Τυργονιάμτζουλουϊ, κώμη καὶ ἀγορὰ, παρὰ τὸν παραῤῥέοντα ῥύακα, Νιάμτζου ὀνομαζόμενον. Ἀνω τοῦ ῥύακος, οὐ πόῤῥω, ἐν νάπῃ μοναστήριον κεῖται, ὅπου μοναχοί εἰσι πλείους ἢ τετρακόσιοι, μὰ τὴν ἀλήθειαν, οὐ μονάζοντες ἀλλ' ἀγοράζοντες. Ὑπέρκειται τῆς ἀγορᾶς Νιάμτζου καὶ μικρὸν παλαιὸν φρούριον ἐπὶ τοῦ ἡμικαντάντους ῥάχεως τινὸς, πρὸ πολλοῦ ἤδη ἐς ἐρείπιον συγκαταβαίνειν ἀρχόμενον, ἔρημον.

Σουτζιάβα.

Ὑπονομὸς, ὑπερκείμενος τοῦ ἀνωτέρω, ἀξιόλογος ἔτι Μολδόβης, καί τοι τοῦ μείζονος μέρους ὑποχωρηθέντος ἤδη τῷ ἐστραϊχικῷ οἴκῳ ἐν τῷ 1774 ἔτει· πρὸς θερινὰς δυσμὰς τῆς Μολδόβης.

*Φαλτιτζὲν, κωμόπολις, κατοικητήριον τῶν ὑπονομαρχῶν, οὐ πόῤῥω πρὸς δυσμὰς τῆς Σουτζιάβης πόλεως.*

*Μπουρδουζὲν, μικρὰ κώμη καὶ ἀγορὰ, πλησίον πρὸς ἔω Σουτζιάβης, ἐν ἀριστερᾷ τοῦ ποταμίου Σουτζιάβης.*

## *Τὰ ἐφεξῆς ἐστὶν ἐν τῇ ἐστραϊχικῇ Μολδόβῃ, τῇ ὀνομαζομένῃ Μπουκοβίνῃ·*

*Σουτζιάβα, πόλις μικρὰ, τὸ πάλαι πολὺ μείζων, μητρόπολις οὖσα τῆς Μολδόβης καὶ τῶν ἡγεμόνων οἰκητήριον, ἐν ἀναπεπταμένῳ καὶ ὀρεινῷ τόπῳ καὶ ἐν ὑγιεινῷ ἀέρι, παρὰ τὴν δεξιὰν ὄχθην τοῦ ὁμωνύμου ποταμίου κειμένη. Αρμένιοι περὶ τὰς ὀκτακοσίας οἰκαρχίας ἐνταῦθα, καὶ ἑβραῖοι περὶ τὰς διακοσίας.*

*Τύργον Σιρέτου, κωμόπολις παρὰ τὸν Σιρέτην ποταμόν. Πάλαι πρὸ τῶν ῥουμούνων ἡγεμόνων πόλις κουμάνων καὶ ῥουμούνων, καὶ πολλὰ ἔτι σώζονται ἐρείπια, ἴχνη τῆς πάλαι μεγάλης πόλεως.*

Τζιαρναοὺτζ, πολίχνιον, περὶ τέταρτόν που ὥρας ἀπέχον τοῦ Προύτου ποταμοῦ, καθέδρα τῆς ἐστραΐχικῆς διοικήσεως τοῦ ὑποχωρηθέντος τῷ Εστράϊχ Μολδόβης μέρους.

## Νομοῦ Ρουμουνικοῦ ἀγροῦ ὑπονομοί.

Πρὸς δυσμὰς τοῦ μεσημβρινοῦ μέρους τῆς Μολδόβης ὁ Ρουμουνικὸς ἀγρὸς παρὰ τὸν Ιστρον ἐξήπλωται κατὰ μῆκος, ὃ καὶ Βουργαρίας ἐκ νότου ὁρίζεται, βορρῆθεν ἔχων τὸ Αρδὲλ καὶ ἐκ δυσμῶν τὸν Ιστρον πάλιν καὶ τὸ Μπανάτ· ὁ γὰρ Ιστρος ὁ ὁρίζων ἐκ μέσης ἡμέρας τὸν Ρουμουνικὸν ἀγρὸν, τόξον μεγάλου κύκλου σχηματίζει ἐνταῦθα. Αρχόμενοι οὖν ἐξ ἔω καὶ πρὸς ἑσπέραν βαδίζοντες, ἔχομεν τοὺς ἐφεξῆς ἑπτακαίδεκα ὑπονομούς. Οκυρίως Ρουμουνικὸς ἀγρὸς διαιρεῖται ἐς ἄνω καὶ κάτω ἀγρόν.

## Εν τῷ κάτω ἀγρῷ.

### Ρίμνικον.

Ρίμνικον ἢ σλὰμ Ρίμνικον, ὑπονομὸς ἔχων πρὸς ἕω, τὴν Μολδόβην, πρὸς βοῤῥᾶν, τὸ Αρδὲλ, πρὸς νότον, τὸν τόπον τῆς Μπραΐλης, καὶ πρὸς δυσμὰς, τὸν ἐφεξῆς ὑπονομόν.

Φοκσὰν, πόλις, οἰκητήριον τῶν ὑπονομαρχῶν.

Ρίμνικον, κωμόπολις ἐν ἀριστερᾷ ὁμωνύμου ἁλμυροῦ ποταμίου, ἐν πεδιάδι, ἐν τῇ εἰς Ρουσσίαν μεγάλῃ ὁδῷ.

### Μπουζέον.

Ο ὑπονομὸς οὗτος ἔχει πρὸς βοῤῥᾶν τὸ Αρδὲλ, πὸς ἕω τὸν ὑπονομὸν Ρίμνικον, πρὸς νότον, τὸν ὑπονομὸν Ιαλομίτζαν καὶ πρὸς δυσμὰς, τὸν ὑπονομὸν Σακογέν.

Μπουζέον, πόλις, ἐπισκοπὴ, οἰκητήριον τῶν ὑπονομαρχῶν, παρὰ τὸν ὁμώνυμον ποταμὸν ἐν δεξιᾷ.

### Σεκογέν.

Υπονομὸς, ἔχων πρὸς δυσμὰς, τὸν

πραχοβικὸν ὑπονομὸν, πρὸς νότον, τὸν Ιαλομίτζαν ὑπονομὸν, καὶ πρὸς βοῤῥᾶν, τὸ Αρδέλ.

Μπούκοβον, κώμη, κατοικητήριον τῶν ὑπονομαρχῶν, ἐπὶ εὐμορφοτάτης πεδιάδος κειμένη, ἔχουσα πρὸ αὐτῆς ὀνομαστὰς διὰ τὴν εὐοινίαν ἀμπελοῤῥάχεις.

Π ρ ά χ ο β α.

Υπονομὸς, ἔχων πρὸς δυσμὰς Δυμποβίτζαν ὑπονομὸν, πρὸς νότον, Ιλφοβον ὑπονομὸν, καί πρὸς βοῤῥᾶν τὸ Αρδέλ.

Πλοὲστ, πόλις, ἐπὶ εὐμόρφου πεδιάδος, παρὰ τὸν ῥύακα Δύμποβ, ἡμίσειαν ὥραν περίπου τοῦ Μπουκόβου ἀφισταμένη. Ενταῦθα κατοικοῦσιν οἱ ὑπονομάρχαι. Τὸ Πλοὲστ ἡ τρίτη πόλις ἐστὶ τοῦ Ρουμουνικοῦ ἀγροῦ.

Τυργοσιόρα, κωμόπολις, οὐ πόῤῥω τοῦ Πλοέστ.

Κύμπινα (πρόφερε τὸ κ ὡς πρό τοῦ α), κωμόπολις, ἀποθήκη τῶν ἀπὸ Πρασσὸβ ἐς τὸν Ρουμουνικὸν ἀγρὸν ἀφικνουμένων ἐμπορικῶν φορτίων.

### Ιαλουμίτζα.

Υπομὸς, ἔχων πρὸς βοῤῥᾶν, τοὺς ὑπονομοὺς Μπουζέον καὶ Σεκογὲν, πρὸς νότον καὶ ἕω, τὸν Ἴστρον καὶ τὸν ὑπονομὸν Ρίμνικον, πρὸς δυσμὰς, τὸν ὑπονομὸν Ἴλφοβον. Κατοικεῖται ὑπ' ὀλίγων ἀνθρώπων, βόσκεται δὲ ὑπὸ πολλῶν ζώων.

Ὀράσσιδὲ Φλὸτ, κώμη, οὗ πόῤῥω τοῦ στόματος τῆς Ιαλουμίτζης, πόλις ποτὲ ἀξιόλογος διὰ τὸ ἐμπόριον.

Ουρτζιὰν, κώμη, οἰκητήριον τῶν ὑπονομαρχῶν.

### Ἴλφοβον.

Υπονομὸς, ἀνήκων ὁ πλείων τῷ κάτω ἀγρῷ, καὶ ὁ ἐλάσσων ὁ πρὸς δυσμὰς τῶν ἐν βουκουρεστίῳ ἡγεμονείων κείμενος, τῷ ἄνω.

Μπουκουρὲστ, χαρᾶς πόλιν μεθερμηνευομένη σημαίνει ἡλέξις, πόλις μεγάλη καὶ πολυάνθρωπος, ἡ μείζων μετὰ τὴν Κωνσταντινούπολιν τῆς εὐρωπαϊκῆς Τυρκίας. Οἱ κάτοικοι αὐτῆς ὑπὲρ τὰς ὀγδοήκοντα χιλιάδας, καὶ ἑπομένως ὑπὲρ

τὸ διπλάσιον τῶν κατοίκων τοῦ Ες, τῆς μητροπόλεως τῆς Μολδόβης, καὶ ἡ πρώτη τῆς Ρουμουνίας. Ῥέει δι' αὐτῆς ποταμὸς Δυμποβίτζα, καὶ ἡ καθ' αὑτὸ πόλις ἐν ἀριστερᾷ κεῖται, τὰ δὲ νέα ἡγεμονεῖα καὶ ἡ μητρόπολις, ἐπὶ λόφου κειμένη καὶ θέσιν ἔχουσα οὕτως ὡραιοτάτην, ὑπερκειμένη, καὶ ἐν τῷ μέσῳ πως κειμένη τῆς πόλεως, ἐν δεξιᾷ εισί. Κεῖται τὸ Μπουκουρὲστ ἐν πεδιάδι μεγάλῃ ἄχρις Ιστου ἐκτεινομένη. Εκτίσθη αὕτη ἡ πόλις παρὰ τοῦ Μίρζα βοεβόδα περὶ τὸ τέλος τῆς δεκάτης τετάρτης ἑκατονταετηρίδος καὶ μέχρι τοῦ τέλους τῆς προπαρελθούσης, ἐν ταῦθα ἐχείμαζον μόνον οἱ ἡγεμόνες, θερίζοντες ἐν Τυργοβίστῳ, τοποθεσίαν πολὺ κρείσσω καὶ χαριεστέραν ἔχοντι. Μετὰ ταῦτα δὲ καὶ χειμάζουσι καὶ θερίζουσιν ἐνταῦθα, ἐγκαταλιπόντες παντάπασι τὸ Τυργόβιστον. Εκτισται δὲ καὶ τὸ Μπουκουρέστ ὥς περ καὶ τὸ Ες, καὶ ἔστρωνται κακῶς ἄμφω αἱ πόλεις δοκοῖς, ὥστε, ὑγροῦ χειμῶνος καὶ θέρους ἐν ὑετοῖς, πη-

λοῦ γέμειν τὰ πάντα καὶ ῥυπαρότητος. Ἀφθονία καὶ εὐθηνία τῶν πρὸς τὸ ζῆν ἐνταῦθα πολὺ μείζων, ἤπερ ἐν Ες· καὶ ὁ ἄρτος καθαρότερος καὶ εὐωνύτερος. Καθόλου πάντα τὰ ἐδώδιμα εὐθηνότερα, ἤπερ ἐν ἑτέρα τινὶ πόλει τῆς Εὐρώπης. Εὐκραεστέρου δὲ τοῦ κλίματος ἐνταῦθα ὄντος, ἤπερ ἐν Ες, καὶ καρποὶ πλείους καὶ καλλίους εἰσὶν ἐνταῦθα, καὶ λάχανα ἐν τοῖς πρατηρίοις πολυειδέστερα καὶ ἀφθονότερα, καὶ πολὺ εὐωνότερα. Κρόμμυα, πράσσα, σκόροδα, θριδακίνας, σπανάκια, σεῦτλα κράμβας, πικραλίδας, σέλινα, δαυκοὺς, γογγύλας, κολοκύνθας, καὶ τὰ λοιπὰ, πάμπολλα καὶ ἀγκαλίδα ὅλην εὐτελοῦς καὶ ἀσημάντου κέρματος, πρό τινων ἐνιαυτῶν ὅτε καὶ ἡμεῖς ἐκεῖ ἐσχολάζομεν, εἶχέ τις πρίασθαι. Εἰσὶ δὲ καὶ μολδοβάνων οἱ ῥουμοῦνοι ἄρχοντες τῆς περὶ τὴν ἀγορὰν εὐπραγίας καὶ εὐθηνίας καὶ εὐωνίας προνοητικώτεροι. Ταραττέσθωσαν δέ μηδόλως ῥουμοῦνοι ἀκούοντες. Καυχᾶσθαι μᾶλλον ἔδει τῷ ὀνόματι τοῦ ἔθνους, ἤπερ αἰ-

σχύνεσθαι· αἰσχυνέσθωσαν δὲ, εἰ πάντως καὶ ἀφεύκτως καὶ αἰσχύνεσθαι θέλουσιν, ἀγνοοῦντες ὅτι τὸ ῥουμοῦνος τοῦ σφετέρου ἔθνους ἐστὶν ὄνομα, καὶ μὴ δεχόμενοι τοῦτο, ἀλλοδαποὺς καὶ ἐπήλυδας ἑαυτοὺς ἀναφανδὸν δεικνύουσιν. Αἰσχυνέσθωσαν, μέλη εἶναι τοῦ-ἔθνους τοῦ μεγάλου Τραϊανοῦ αἰσχυνόμενοι ἀκούοντες.

Γεργίτζα, μικρὰ κωμόπολις ἐς Φοκσὰν ἀπὸ Μπουκουρὲστ πορευομένῳ.

## Εν τῳ ἄνω ἀγρῷ.

### Δυμποβίτζα.

Υποvομὸς, ἔχων πρὸς ἕω Πράχοβαν, πρὸς μεσημβρίαν, Ιλφοβον, πρὸς δυσμὰς, Βλάσκαν, καὶ Μουστζέλον, καὶ πρὸς ἄρκτον, Αρδὲλ.

Τυργόβιστον, πόλις, οἰκητήριον τῶν ὑπονομαρχῶν, μητρόπολις πάλαι τοῦ Ρουμουνικοῦ ἀγροῦ, ἐπὶ τῆς Ιαλουμίτζης, ἐν δεξιᾷ, οὐ πόῤῥω τῆς Δυμποβίτζης, ἐπὶ τῶν προπόδων τῶν Καρπαθίων, προκείμενον πεδίον ἔχουσα χαριέστατον.

### Β λ ά σ κ α.

Υπονομὸς, ἔχων πρὸς ἕω τὸ Ιλφοβον καὶ τὴν Δ:μποβίτζαν τοὺς ὑπονομοὺς, πρὸς νότον, τὸν Ιστρον, πρὸς δυσμὰς, τὸ Τελεορμὰν, καὶ πρὸς ἄρκτον, Αρντζες καὶ Μουστζέλον.

Γκαὲστ, κώμη ὅπου κατοικοῦσιν οἱ ὑπονομάρχαι.

### Τ ε λ ε ο ρ μ ά ν.

Υπονομὸς, περιοριζόμενος τῷ Ιστρῳ πρὸς νότον, τῷ ὑπονομῷ Ολτῳ πρὸς δυσμὰς, τῷ ὑπονομῷ Αρντζες πρὸς βοῤῥᾶν, καὶ πρὸς ἕω ἔχων τὴν Βλάσκαν καὶ τὸν τόπον τοῦ Γκιουργκίοβου.

Ρουσσιδεβέδε, κωμόπολις, οἰκητήριον τῶν ὑπονομαρχῶν, ἐπὶ τοῦ ῥύακος Βεδε.

### Μ ο υ σ τ ζ έ λ ο ν.

Υπονομὸς ὀρεινὸς, ἔχων πρὸς ἄρκτον, τὸ Αρδελ, πρὸς ἕω, Δυμποβίτζαν ὑπονομὸν, πρὸς νότον, τοὺς τῆς Βλάσκης, καὶ Αρντζες, καὶ πρὸς δυσμὰς τὸν τοῦ Αρντζες.

Κυμπουλλουγγ (πρόφερε τὸ κ ὡς πρὸ

*τοῦ α, ὡς καὶ ἡ κύπριοι προφέρουσι τὸ κύριος), κωμόπολις, οἰκητήριον τῶν ὑπονομαρχῶν, ἡ πρώτη καθέδρα τοῦ μέλανος βοεβόδα καὶ μητρόπολις τοῦ Ρουμουνικοῦ ἀγροῦ.*

### *Α ρ υ τ ζ ε ς.*

*Υπονομὸς, ἐγγίζων πρὸς βοῤῥᾶν τῷ Αρδὲλ, πρὸς δυσμὰς, τῇ Βοῦλτζῃ, καὶ τῷ ποταμῷ Ολτῳ, πρὸς νότον, τοῖς ὑπονομοῖς Αρυτζες καὶ Τελεορμάν.*

*Πιτὲστ, πόλις ἐπὶ χαριεστάτης πεδιάδος κειμένη, οὐ πόῤῥω τοῦ ποταμοῦ Αρυτζες, οἰκητήριον τῶν ὑπονομαρχῶν.*

*Κοῦρτη ντὲ Αρυτζες, κωμόπολις, δευτέρα καθέδρα τοῦ μέλανος βοεβόδα, ὅπου καὶ ἐτάφη.*

### *Ο λ τ ο ς*

*Υπονομὸς, τῷ ὁμωνύμῳ ποταμῷ πρὸς δυσμὰς ὁριζόμενος, τῷ τόπῳ τοῦ Τοῦρνου πρὸς νότον, τῷ Τελεορμὰν πρὸς ἕω, καὶ τῷ Αρυτζες ὑπονομῷ πρὸς βοῤῥᾶν.*

*Σλάτινα, κωμόπολις μεγάλη, ἐν ἀριστερᾷ τοῖ Ολτου.*

*Υπερόλτιοι ὑπονομοί τοῦ Ρουμουνικκοῦ ἀγροῦ.*

**Β ο ύ λ τ ζ α.**

*Υπονομὸς, ἐγγίζων ἐξ ἄρκτου, τῷ Αρδὲλ, ἐκ νότου, τῷ Ντὸλτζ, καὶ τῷ Γκὸρτζ, καὶ ἐξ ἕω, τῷ Ρωμανάτζ.*

*Ρίμνικον, κωμόπολις ἐπὶ τῇ ὄχθῃ τοῦ Ολτου, πρώτη ἐπισκοπὴ τοῦ Ρουμουνικοῦ ἀγροῦ, οἰκητήριον τῶν ὑπονομαρχῶν.*

**Ρ ω μ α ν ά τ ζ.**

*Υπονομὸς, ἐκτεινόμενος ὑπὸ τὴν Βούλτζαν ἀντικρὺ τῆς Σλατίνης, ἄχρις Ιστρου, ἀντικρὺ τῆς Νικοπόλεως.*

*Καρακὰλ, κωμόπολις, οἰκητήριον τῶν ὑπονομαρχῶν.*

*Ισλὰς, κώμη, ἀγορὰ, ἁλαταποθήκη, ἀντικρὺ Νικοπόλεως.*

**Ν τ ό λ τ ζ.**

*Υπονομὸς μικρὸς, ἔχων ἐξ ἄρκτου Βούλτζαν καὶ Γκόρτζ, ἐξ ἕω, Ρωμανάτζ, ἐκ δυσμῶν, Μεχεντίντζ, καὶ ἐκ νότου τὸν Ιστρον.*

*Κραϊόβα, πλησίον τοῦ Ζύου ποταμοῦ, ἐν ἀριστερᾷ κειμένη, καθέδρα ποτὲ τοῦ Μπάνου, νῦν τοῦ ἐπιτρόπου αὐτοῦ, ὅς τις πέμπεται ἐνταῦθα παρὰ τοῦ βοεβόδα· οἰκητήριον τῶν ὑπονομαρχῶν. Η Κραϊόβα ἀπεριτείχιστός ἐστι πόλις, ὥσπερ καὶ πᾶσαι αἱ τοῦ Ρουμουνικοῦ ἀγροῦ καὶ τῆς Μολδόβης.*

## *Γ κ ό ρ τ ζ.*

*Υπονομὸς, ὅς τις καὶ ἄνω Ζύος ὀνομάζεται, πρὸς ἀντιδιαστολὴν τοῦ κάτω Ζύου τοῦ Ντόλτζ, ἔχει πρὸς Αρκτον, τὸ Αρδὲλ, πρὸς δυσμὰς, τὸ Μπανὰτ, πρὸς νότον τὸ Μεχενντὶντζ καὶ πρὸς ἕω, τὴν Βοῦλτζαν.*

*Τιργοζύουλουϊ, κωμόπολις μικρὰ, ὅπου κατοικοῦσιν οἱ ὑπονομάρχαι.*

## *Μ ε χ ε ν ν τ ί ν τ ζ.*

*Υπονομὸς, τὸ δυτικώτατον τοῦ Ρουμουνικοῦ ἀγροῦ ἐπέχων, καὶ τῷ Ιστρῳ Σερβίας καὶ Βουργαρίας ἐκ δυσμῶν καὶ νότου ὁριζόμενος, καὶ ἔχων πρὸς ἕω, τὸ Ντὸλτζ,*

πρὸς βοῤῥᾶν, τὸ Γκὸρτζ, καὶ πρὸς δυσμὰς ἔτι τὸν τόπον τῆς Ορσόβης καὶ τὸ τεμεσβαρικὸν Μπανάτ.

Τζερνὲτζ, κώμη οὐ πόῤῥω Δανουβίου καὶ Ορσόβης, οἰκητήριον τῶν ὑπονομαρχῶν.

Ου πολὺ μακρὰν τῆς κώμης ταύτης καὶ ὁ πύργος ἔκειτο Σεβερῖνος ἢ φρούριον, καὶ ἡ ξυλίνη γέφυρα τοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ μεγάλου, ἅτινα ἐκτίσθησαν, ὡς ἔοικε, παρὰ Σεβήρου ἐπὶ γότθους στρατεύοντος, καὶ ἐκλήθη ὁ τόπος Σεβερῖνον, ἀπενεμήθησαν δ' ἔπειτα τῷ μεγάλῳ Κωνσταντίνῳ αὐτοκράτορι ἀναγορευθέντι. Ην ὁ πύργος τὸ πάλαι οἰκητήριον τῶν Μπάνων.

Κύμπου Σεβερίνουλουϊ, (πρόφερε τὸ κύμπου, ὡς τὸ Κύμπινα), κώμη ἐν ἀρχῇ πεδίου κειμένη παρὰ τὸν εἰρημένον πύργον.

Στρεχάϊα, ὠχυρωμένον μοναστήριον, ἐπί τινος λόφου κτισθὲν ὑπὸ τοῦ περιφήμου Μιχαὴλ βοεβόδα, οἴκημα αὐτῷ ὅτε τὴν χώραν διώκει πρὶν ἡγεμόνα γενέσθαι.

Ενταῦθα εἰσὶ καὶ οἱ καταῤῥάκται τοῦ Ἴστρου ἀναμεταξὺ Βιδινίου καὶ τῆς ἐν Σερβίᾳ Παλάνκης.

## Τόποι τῶν Τύρκων.

### Ορσοβα.

Φρούριον καὶ ὁ περικείμενος τόπος, ἀναμεταξὺ τῶν δύο Μπανατίων, παρὰ τὸν ποταμὸν Τζέρναν, τὸ ὅριον τῶν Μπανατίων. Η παλαιὰ Ορσοβα ἐστὶν ἐπὶ τῆς ὄχθης τοῦ Ἴστρου, τῷ ἐστραϊχικῷ οἴκῳ ἀνήκουσα· ἡ νέα ἐπὶ νήσου προκειμένης, ἥτις καὶ φρούριον δυσάλωτον ἐστί.

### Τοῦρνον.

Κεῖται ὁ τόπος οὗτος ἀναμεταξὺ των ὑπονομῶν Ολτου καὶ Τελεορμὰν καὶ Ἴστρου καὶ ποταμοῦ Ολτου, ὅπου εἰσὶ καὶ κῶμαι ῥουμουνικαί.

Τοῦρνον, κωμόπολις, φρούριον ἐν τῇ ἐκβολῇ τοῦ Ολτου κείμενον.

## *Γκιούργκιοβον.*

*Τόπος, πολὺ μείζων τοῦ ἀνωτέρω μετὰ πολλῶν ῥουμουνικῶν κωμῶν.*

*Γκιούργκιοβον, κωμόπολις καὶ φρούριον ὀχυρὸν, περίφημον διὰ τὰς μεγάλας αἱματοχυσίας ἐν τοῖς παρελθοῦσι πολέμοις. Κεῖται ἀντικρὺ τοῦ Ρουκτζιούκ. Απέχει τοῦ Μπουκουρὲστ δυοκαίδεκα ὥρας.*

## *Μπραΐλα.*

*Τόπος ἀναμεταξὺ τοῦ Ρουμουνικοῦ ἀγροῦ καὶ τῆς Μολδόβης καὶ τοῦ Ιστρου.*

*Μπραΐλα, πόλις, φρούριον ἐπὶ τοῦ Ιστρου, πάλαι πολὺ ἐμπορικωτέρα ἢ νῦν, πάντως διὰ τὴν ἀταξίαν καὶ ἀπείθειαν καὶ αὐθάδειαν τῶν κατοίκων, ὑφ' ὧν καὶ τὸ οὐ πόῤῥω ἀφιστάμενον Γαλὰτζ πολὺ ἐπηρεάζεται, καὶ ἦν ἂν, ἄνευ τῆς ἀταξίας αὐτῶν, πολὺ ἐμπορικώτερον καὶ πολὺ πολυανθρωπότερον.*

*Ουκ ἂν εἴη ἄπο σκοποῦ τῷ ἀναγινώσκοντι προσθεῖναι ἐνταῦθα, μετὰ τὴν τῆς ἑῴας καὶ μεσημβρινῆς Ρουμουνίας ἐς ὑπο-*

νομοὺς ὑποδιαίρεσιν, ἥπερ ἐς εὐκολίαν συντείνει τῆς τῶν νομῶν διοικήσεως, καὶ τῆς παραλαβῆς τῆς ἐπὶ ταύτῃ δαπάνης, ἣν κοινῶς οἱ κάτοικοι ἑκάστης ἐπικρατείας, ὡς μέλη τινὸς ὅλου συντηρητέου, ἀναδέχεσθαι ὀφείλουσι· καὶ ὁ ἄρχων μετὰ τῶν αὐτοῦ ὑπηρετῶν προσδιορίζει τὸ ὅλον ἀναλόγως τῇ χρείᾳ τοῦ τόπου, καὶ διανέμει τὸ καταβλητέον ἑκάστῃ κοινότητι ἢ συνοικίᾳ, τῇ συνεισφορικῇ δυνάμει ταύτης ἀνάλογον. Οὗτός ἐστιν ὁ ὀνομαζόμενος φόρος, ὃν οἱ ὑπονομάρχαι, οἷς ἐπιτέτραπται ἡ διοίκησις τῶν ὑπονομῶν, συλλέγουσι καὶ τῷ ἡγεμονικῷ θυσαυρῷ πέμπουσιν. Ἐστι δὲ καὶ ἑτέρα τῇ ἡγεμονίᾳ πρόσοδος ἐκ τῶν λεγομένων τελῶν προσγινομένη, ἅπερ ἰδίως τῷ ἡγεμόνι ἀνήκουσι τῆς τοῦ ἡγεμονικοῦ οἴκου δαπάνης ἕνεκα. Τέλη δέ εἰσι τὰ τεταγμένα καὶ συλλεγόμενα χρήματα ἐκ τῶν προβάτων, τοῦ ἅλατος, τῶν συῶν, τῶν ἑσμῶν ἢ κυψελῶν, τοῦ οἴνου καὶ τῶν ἐξαγωγῶν καὶ ἐσαγωγῶν τῶν ἐμπορικῶν φόρτων. Ἔτι δέ εισι καὶ ἕτερά τινα χρήματα

λόγῳ φόρου ἢ τελῶν, δι' ἑτέρας χρείας συλλεγόμενα, ἧττον ἀξιόλογα. Ταῦτα τὰ τέλη πιπρασκόμενα, ἔν τινι δωματίῳ τῶν ἡγεμονείων, δημοσίᾳ διὰ κήρυκος ἀποκηρύττονται καὶ τοῖς τιμηουλκοῦσιν ἢ πλειστηριάζουσι προσκρίνονται. Κόμματα δὲ ἀρχόντων καὶ ἄλλων τελεμπόρων, τὰ πολλὰ, ἐν τῇ ἀποκηρύξει ὠνοῦνται τὰ τέλη, καὶ ἐμπορία τίς ἐστιν αὕτη, τελωνία καθόλου κεκλημένη, ἰδιαίτερον δὲ τελωνία ἡ χρημάτων ἐκ τῶν ἐμπορικῶν φορτίων ἐξαγομένων ἢ εἰσαγομένων παραλαβή.

Ην δὲ καὶ τῶν φόρων ἡ προσδιόρισις καὶ ὁ συλλεκτικὸς τρόπος ἄλλοτε ἄλλως διαταττόμενα· ἀλλὰ τ' ἄλλα μὲν ἐάσθω, τὰ δὲ οὐ πάνυ πρώην φορικὰ διατεταγμένα ἐκτεθείσθωσαν ἐπιτετμημένως ἐνταῦθα, τοῖς περιέργοις σύντομος καὶ ἀκριβὴς, ὡς οἷον τε, περίληψις τοῦ πράγματος ἐσόμενα. Προειρήσθωσαν δὲ ἐνταῦθα, ἃ συντείνει ἐς ἀκριβεστέραν τῶν τε φόρων καὶ τῶν τελῶν ἔννοιαν. Μετὰ τὴν ἤδη πρὸ τεσσαράκοντα ἐνιαυτῶν ἀναμεταξὺ Ρουσσίας

καὶ Τουρκίας γενομένην εἰρήνην, ὑπεχωρήθησαν τῷ ἐστραϊχικῷ οἴκῳ οἱ δύο βόρειοι καὶ μεγάλοι ὑπονομοὶ τῆς Μολδόβης, ὁ τῆς Σουτζιάβης λέγω καὶ τοῦ Τζιαρναοὺτζ, ἐκτὸς τινων μικρῶν μερῶν, συμμεινάντων τῇ Μολδόβῃ, καὶ τοὺς προειρημένους ὑπονομοὺς ποιούντων. Τουτωνὶ τῶν λειψάνων τῶν δύο μεγάλων ὑπονομῶν καὶ τῶν ἐπιλοίπων, ὡς ἄρτι ἐκτέθεινται, ἐκτὸς τοῦ ὑπονομοῦ τοῦ Χοτὶν, πρὸ ἑκατὸν ἤδη ἐνιαυτῶν καὶ ἐπέκεινα, ἐκλείψαντος τῇ Μολδόβῃ, καὶ τῆς κυρίως Μπασσαραβίας καὶ τοῦ Τίγιν μετὰ τῶν πέριξ, οἱ ὑποτελεῖς μόνον (πολλοὶ γάρ εἰσι καὶ οἱ ἀτελεῖς μετά τινα χρόνον) ἐς τρισκαίδεκα μυριάδας οἰκαρχιῶν συνεποσοῦντο περίπου. Ο ἐπιτεταγμένος αὐτοῖς φόρος, κατὰ τὴν τοῦ Γρηγορίου Γκίκα διαταγὴν, διεμερίζετο ἐς ὀκτὼ μηνιαῖα μέρη, σφέρτα ῥουμουνιστὶ ὀνομαζόμενα, ἕκαστον ἀνὰ ἑξήκοντα χιλιάδας ἀργυρίων (γροσίων), οὗπερ ἑκάστου ἡ ἀξία πεμπτημόριόν που ἦν τηνικαῦτα ὀλλανδικοῦ χρυσίου, νῦν δὲ, πεντεκαιδεκα

τημόριον· ἔτι δὲ καὶ ἐς μίαν τετραμηνιαίαν συνεισφορὰν, ὡς ἑκουσίαν τάχα, συναντίληψιν (ἀζιουτουρίντζαν ῥουμουνιστὶ) ὀνομαζομένην, τριακοσίων χιλιάδων ἀργυρίων. Ουτος ὁ φόρος ὁ ἐτήσιος ἐτελεῖτο ὑπὸ τῶν ὑποφόρων κατοίκων τῷ ἡγεμόνι τῶν ἀναλωμάτων ἕνεκα, οἷς ἡ χώρα ἦν ὑποκειμένη. Τὰ δὲ τέλη ἴδια πρόσοδος ἦν τῷ ἡγεμόνι. Εξαιρετέον ἐκ τῶν ὑπονομῶν τὸ Μπουτοσιὰν, οὗπερ ὑπονομοῦ ὁ φόρος ἀνῆκε καὶ ἀνήκει τῇ δόμνῃ, ὡς καὶ ὁ φόρος τῶν αἰγυπτίων, ὅς ἐξ ἀργυρίου καὶ ψηγμάτων χρυσῶν, ἐν ποταμοῖς συλλεγομένων, συνίσταται· καὶ τὰ προσγινόμενα τῇ δόμνῃ ἀργύρια ἦσαν περὶ τὰς εἴκοσι μυριάδας. Τὰ δὲ τῆς ἡγεμονίας ἀναλώματα, ὁ ἐτήσιας φόρος ἐστὶν, ὁ διδόμενος κατ᾽ ἔτος τῷ σουλτάνῳ τῶν τύρκων, καὶ ὅσα ἕτερα τεταγμένα ἐστὶ κατ᾽ ἔτος, τῇ ὀθωμανικῇ πύλῃ προσφέρεσθαι· ἔπιδὲ ἡ δαπάνη τῶν σταθμῶν, τὸ μηνιαῖον διδόμενον τοῖς τηβενοφόροις ἀντ᾽ ἀτελῶν κατοίκων εἰς ὑπηρεσίαν, ἑκάστῳ ἀνὰ δύο ἀργύρια τὸν μῆνα

(οἱ ἀνώτεροι τῷ βαθμῷ τηβενοφόροι, πλείω ἔχουσι καὶ τὰ μηνιαίως διδόμενα), καὶ ἕτεραί τινες δαπάναι τοῦ θησαυροῦ. Οι δὲ μισθοὶ τῶν ἐνεργῶν ὑπηρετῶν ἢ ἀρχόντων καὶ τῶν ὑπονομαρχῶν, καὶ ἕτερα λόγῳ ἀρωγῆς, ἢ ἐλέους διδόμενα, ἐξ ἑτέρας προσόδου λαμβάνονται, ἥ τις ἐστὶν αὕτη. Εκαστος ὑποφόρος προσυποτελεῖ καὶ τρία ὄγδοα τοῦ ἐτησίως οἱ τεταγμένου φόρου. Ετερα τις πρόσοδός ἐστι καὶ ἡ πρόσοδος τοῦ ἐλέους.

Αλέξανδρος Μορούζης ἡγεμὼν, ἐλθὼν τὸ δεύτερον, ἐς Μολδόβην, ἐς τέτταρα τελεῖσθαι τὸν φόρον ἐπέταξε τριμηνιαῖα, προσδιορίσας αὐτὸν ἐς τὴν ἐφεξῆς ποσότητα, ἢ προστιθεμένων καὶ τῶν τελῶν, οἷς οἱ τηβενοφόροι οὐχ ὑπόκεινται,

| | |
|---|---|
| Φόρος . . . . . . . . . . | 1650000 |
| Τέλη | |
| προβάτων, ἀνὰ ί· ἀργυρίου . . | 120000 |
| μελισσῶν καὶ συῶν, ἀνὰ έ. . . | 130000 |
| οἴνου, ἀνὰ θ'· ἐς τὸ μέτρον . . | 300000 |
| ἁλυκίδος, 2½ ἀργυρίων πωλουμένων τῶν 300 λιτρῶν . . | 240000 |
| συγκεφαλαιοῦται τὸ ὅλον . . . | 2640000 |

*Ταῦτα κατ' ἔτος ὁ Ἀλέξανδρος μορούζης ἐλάμβανε.*

*Τὰ δὲ τοῦ Ρουμουνικοῦ ἀγροῦ ἑτεροίως πως διατέτακται· ἐκεῖ γὰρ, ὅπου οἰκαρχίαι ὑποφόρων περὶ τὰς εἴκοσι πέντε μυριάδας ἀπογράφονται, κατ' οἰκάρχους, καὶ τούτους οὐ πάντας, ἀλλὰ κατὰ τὰ τρία πέμπτα, ἢ δύο πέμπτα, ἀναλόγως τῇ ἐκ τῶν κτημάτων χρηματικῇ δυνάμει τῆς κοινότητος, ἡ τοῦ φόρου ἐπίθεσις γίνεται· οἱ δὲ ἐπίλοιποι οἰκάρχαι, ἀρωγοὶ καί εἰσι καὶ ὀνομάζονται. Ἀλλ' ἔοικεν ὅτι ποτὲ μὲν τὸ τέταρτον, ποτὲ δὲ τὸ πέμπον τοῦ ὅλου τῶν κοινοτήτων οἱ ὑποφορικοὶ οἰκάρχαι ἦσαν· οἱ δὲ ἐπίλοιποι, ἀρωγοί. Ησαν μὲν ἐπὶ Ἀλεξάνδρου Μορούζη ἓξ μυριάδες ὑποφορικοὶ οἰκάρχαι, λόδουρα ῥουμουνιστὶ ὀνομαζόμενοι, καὶ ἐτέλουν οὗτοι ἀνὰ τέτταρα πέμπτα ὀλλανδικοῦ χρυσίου, πρότερον, μὲν τετράκις τοῦ ἐνιαυτοῦ, ἔπειτα δὲ διετάχθη ἄλλως ἡ δόσις, καὶ τὸ ὅλον ἐς μέρη δοτέα διῄρηται, σφέρτα καὶ ὧδε ὀνομαζόμενα, πέντε μὲν ἀνὰ τέταρτον*

*ὁλλανδικοῦ χρυσίου καθ᾽ ἕκαστον, ἓν δὲ, βασιλικὸν φόρον (χαράτζ) ὀνομαζόμενον, ἀνὰ τὸ τριπλάσιον περίπου. Συνήγετο μὲν οὖν τηνικαῦτα ἀργύρια,*

| | |
|---|---|
| *ἐκ μὲν τοῦ φόρου,* . . . . . | 2000000 |
| *ἐκ δὲ τῶν τελῶν,* | |
| *ἐκ τῶν ἁλυκίδων* . . . . . . | 500000 |
| *ἐκ τῶν προβάτων* . . . . . . | 400000 |
| *ἐκ τῶν μελισσῶν* . . . . . . | 100000 |
| *ἐκ τοῦ τελωνίου* . . . . . . | 360000 |
| *ἐκ τοῦ οἴνου, ἀνὰ κδ΄. ἐνταῦθα* . | 100000 |
| *τὸ ὅλον* . . . . . . . . . . | 3460000 |

*Ἀλλὰ καταχρήσεις οὐκ ἐλλείπουσι, μάλιστα δὲ ἐν τοῖς ἡμετέροις τοῖς φιλοσοφικοῖς χρόνοις, καθ᾽ οὓς ἀκμάζει ἡ καὶ λοιμοῦ αὐτοῦ ὀλεθριωτέρα τοῖς κοινωνικοῖς σώμασι τρυφὴ, καὶ ὁ φόρος ἀναβαίνει, ἔστιν ὅτε, καὶ ἐς τὸ διπλάσιον καὶ ἐπέκεινα, καὶ καταβαίνειν δοκῶν. Ἔπειτα δὲ καὶ τὰ τέλη ἁμίλλῃ τιμηουλκούμενα ὑπὸ τῶν τελεμπόρων, ἐν ταῖς ἀποκηρύξεσι, ἐνταῦθά τε καὶ ἐν Μολδόβῃ, πιπράσκονται πολλοῦ πλείονος. Τὰς τοῦ Ῥουμου-*

νικοῦ ἀγροῦ ἁλυκίδας ἑβδομήκοντα μυριάδων· ἀργυρίων πεπρᾶσθαι ποτὲ ἠκούσαμεν, καὶ πλείονος ἄλλοτε, καὶ τὸ τοῦ οἴνου τέλος ἐν Μολδόβῃ τριάκοντα ἓξ μυριάδων ποτὲ ἐπράθη. Ἐν τῷ Ρουμουνικῷ ἀγρῷ ἐν ὑπηρετῶν λόγῳ τοῖς τηβενοφόροις οὐκ ἀργύρια, ἀλλ' ὑποτελεῖς κάτοικοι δίδονται. Τὰ λοιπὰ ὥσπερ καὶ ἐν Μολδόβῃ σχεδὸν.

## Νομοῦ Μπανὰτ ὑπονομοί.

Η ἀναμεταξὺ Ἴστρου καὶ Τισσοῦ καὶ Μαρίσσου κειμένη χώρα τῆς Ρουμουνίας, Μπανάτ, ἐκ τῶν ἐνταῦθα ἐς φύλαξιν τῶν ἄκρων ἐγκαθισταμένων στρατηγῶν καὶ μπάνων καλουμένων, ὀνομάζεται· ἔτι τεμεσβαρικὸν Μπανὰτ πρὸς ἀντιδιαστολὴν τοῦ κραϊοβικοῦ Μπανάτ. Αὐτη ἡ χώρα ὑπέκειτο ποτὲ ῥωμαίοις, οἳ καὶ φρούρια ἔκτιστο ἐν τῷ μεσημβρινῷ καὶ δυτικῷ μέρει, καὶ πρότερον κατῴκητο ὑπὸ Ἰαζύγων, οὓς ὁ Δεκέβαλος ἐνίκησε. Μετὰ δὲ ῥωμαίους ἔσχον αὐτὴν οἱ γότθοι,

οἱ οὖννοι, οἱ γεπίδαι καὶ ἔπειτα οἱ ἄβαροι. Ενταῦθα οἱ ἐπιβόητοι λησταὶ σκαμάροι, ἐκ τῶν δεξιῶν παριστρίων μεταναστάντες, ἐφώλευσαν, καὶ μητρόπολιν λῃστείας φρούριον ἔχοντες, τούτῳ τε ὁρμητηρίῳ χρώμενοι, τὰ πέριξ ἐλήϊζον, καὶ τάγμασιν ὅλοις ἀβάρων ἐπετίθεντο. Αβάρων δ᾽ ἔπειτα μετὰ νίκην τὸ φρούριον ἑλόντων, οἱ σκαμάροι ἐν τοῖς ὄρεσι καὶ δρυμοῖς καὶ λοιποῖς φυξίμοις τοῦ Μπανὰτ τόποις ἐνδιαιτώμενοι, διὰ πολλοῦ τοῖς πέριξ ἐπηρέαζον, ἄχρις οὗ οἱ ἄβαροι παντελῶς αὐτοὺς ἐξηφάνισαν. Κρουμὸς ἔπειτα ἡ μάστιξ τῶν κωνσταντινουπολιτῶν, περὶ τὴν ἀρχὴν τῆς ἐννάτης ἑκατονταετηρίδος, ὑπέταξε τὸ Μπανάτ· ἔπειτα · ὁμοαγγυορικὸς ἥρως Θούουτος· ἔπειτα ἐπαρχία ἄμεσος τοῖς μοαγγυόροις γίνεται. Υπεχωρήθη τοῖς τύρκοις. Αναλαμβάνει πάλιν αὐτὸ ὁ βασιλεὺς τῶν μοαγγυόρων, καὶ διοικεῖται μέχρι τινὸς κατὰ τὸν ἑστραϊχικὸν τρόπον, καὶ ἔπειτα πάλιν ἑνοῦται τῇ Μοαγγυορίᾳ.

*Πέντε εἰσὶν ὑπονομοὶ, ὁ βόρειος, ὁ ἕῳος, ὁ νότιος, ὁ δυτικὸς καὶ ὁ μέσος. Αὕτη ἡ διαίρεσις καὶ ἡ διὰ ποταμῶν καὶ ὀρέων πολὺ κρείσσων ἐστὶν, ὡς φυσικὴ καὶ μόνιμος καὶ εὐχρηστοτέρα, ὅθεν καὶ προτιμητέα τῶν ἄλλων, ἀγεωμετρίᾳ τὰ πολλὰ καὶ φαντασίᾳ ἐκτελουμένων.*

## *Μέσος ὑπονομός.*

*Τεμεσβὰρ, πόλις καὶ φρούριον περίφημον διὰ τὴν γεωμετρικὴν ὀχύρωσιν, παρὰ τὸν Μπὲγ ποταμὸν, ἀναμεταξὺ ἑλῶν, ἃ, ὑπερχεκχεομένου τοῦ Μπέγ γίνονται· ποταμόκλυστα γὰρ τὰ πέριξ τῆς πόλεως.*

*Ἅγιος Ἀνδρέας, κωμόπολις.*

*Κζακοβὰρ, κωμόπολις.*

*Ὀραβίτζα, κωμόπολις, ὅπου καὶ χαλκεῖα.*

## *Ἑῷος ὑπονομός.*

*Λογγὸς (τὸ), πολίχνιον, ἐν τῇ ἀπὸ Βιέννης ἐς Σιμπὶν μεγάλῃ ὁδῷ.*

*Καρανσέβεν, κωμόπολις, ἀποθήκη ποτὲ τῶν ἀπὸ τῶν ὑπεριστρίων ἐμπορι-*

κῶν φορτίων ἐς τὸ Ἀρδὲλ. Ὁ Καρανσεβενίου ὀρθόδοξος ἐπίσκοπος κατοικεῖ τὸ Μπερζέτζ.

Μεχενδίντζ, μικρὸν φρούριον ἐν τοῖς ὁρίοις τοῦ Ρουμουνικοῦ ἀγροῦ, παρὰ τὸν ποταμὸν Τζέρναν, τὸν ὁρίζοντα τὰ δύο Μπανάτ.

Νότιος ὑπονομός.

Μαρεκμπίλα, φρούριον ποτὲ ῥωμαϊκὸν, παρὰ τὸν Δανούβιον, στενούμενον πολὺ ἐνταῦθα.

Πεσκαμπάρον, φρούριον ποτὲ ῥωμαϊκόν.

Νέα παλάνκα, παρὰ τὴν ἐκβολὴν τοῦ Καρὰς ἐς τὸν Ἴστρον.

Τρίκουλε, παρὰ τὸν Δυνούβιον.

Νέα Μολδόβα, κωμόπολις, ἐπὶ ὑψώματος, προκείμενον πολὺ μέρος τῆς Σερβίας ἔχουσα.

Μολδόβα, πολίχνιον παρὰ τὸν Δανούβιον.

Δυτικὸς ὑπονομός.

Μπεκτζερὲκ, κωμόπολις.

*Βόρειος Υπονομός.*

*Λίποβα, μικρὸν φρούριον παρὰ τὸν Μάρισσον.*

*Νέον Αρὰδ, παρομοίως.*

## Νομοῦ Γύλα ὑπονομοί.

*Γύλα τὸ μέρος ἐστὶ τῆς Ρουμουνίας, τὸ ἀπὸ τῶν Καρπαθίων ὀρέων καὶ τῶν πηγῶν τοῦ Τισσοῦ, ὅπου καὶ τὸ Μαραμός ἐστι, μίχρις Ουγγ καὶ Μαρίσσσυ καθῆκον, ὥστε ἔχει ἐκ βορρᾶ καὶ ἐξ ἔω ὅρια, τὰ Καρπάθια, ἐκ νότου δὲ μέρος Μολδόβης, τὸ Αρδὲλ καὶ τὸ Μπανὰτ· ἐκ δυσμῶν δὲ τὴν Μοαγγυορίαν, ἀφ' ἧς ὑπὸ Ουγγ καὶ Τισσοῦ ὁρίζεται. Εντεῦθεν ὁρμήσαντες οἱ δακοὶ τὴν ἐπίλοιπον Ρουμουνίαν τὴν τότε Γετίαν κατεκτήσαντο, ἐκπονηθέντων ἤδη τῶν προτέρων κυρίων τοῦ τόπου. Εντεῦθεν καὶ Γεμπερὶχ γότθος, βανδήλους ἑτέρους γότθους, ἐκ τῶν περὶ Μαιῶτιν ἱκομένους, καταπολεμήσας ἐδίωξε. Μετὰ δὲ γότθους οἱ οὖννοι, οἱ γεπίδαι, οἱ ἄβαροι κύριοι τῆς χώρας ἐγένοντο· καὶ τῶν*

ἀβάρων ταπεινωθέντων, χαζάροι κρατοῦσι τῆς χώρας, ὅση πρὸς δυσμὰς τοῦ Ἀρδὲλ κεῖται, ἀφ' ἧς καὶ τοὺς βουργάρους ἐπελθόντας σφίσιν, ἀπέκρουσαν. Ἴσως μέρος μόνον τοῦ Γύλα τὸ πρὸς τῷ Μαρίσσῳ μόνον ὑπέταξαν οἱ βούργαροι· ὑπέταξαν δὲ καὶ τὰ δεξιὰ τοῦ Τισσοῦ μέχρις Ἴστρου, καὶ τὸ Μουντκὰς πόλις, πρὸς τὸ βόρειον τοῦ περιφήμου ἐξ ἐνοινίας Τοκάϊ, καθέδρα τοῦ ἡγεμόνος βουργάρου ὑπῆρχεν. Οἱ δὲ χαζάροι καὶ πρότερον ἔμποροι ὄντες ἐς τὴν Ρουμουνίαν ἐσύχναζον, καί τινα μέρη ἀποβαλόντες, ὡς τὰ ἑῷα καὶ μέσα τῆς Ρουμουνίας καὶ μεσημβρινὰ ἴσως, ζῶντος τοῦ Κρουμοῦ, ἀποθανόντος ἀνέλαβον, τὸ κράτος ἔχοντες ἐν τοῖς μεσημβρινοῖς τῆς Ρουσσίας, κἀκεῖθεν ἐν καιρῷ δυνάμεσι νέαις ἑαυτοὺς ἀναλμβάνοντες. Εἰ γὰρ καὶ ἐν τοῖς ἡμετέροις χρόνοις ὁρῶμεν τόπους ἀπὸ κυρίων ἐς κυρίους συχνάκις μεταβαίνοντας, πόσῳ μᾶλλον ἐν τοῖς τότε χρόνοις, ὅτε τὰ ἔθνη ἀγέλαι φιλοπλανούντων ζώων ἐτύγχανον. Τηνικαῦτα χαζάρων τῶν ἐντὸς

*τοῦ Ἴστρου κρατούντων, Κύριλλος τὸ τοῦ Χριστοῦ εὐαγγέλιον ἐντὸς τοῦ Ἴστρου ἐκήρυξε, καὶ χαζαρικὸς ἀπόστολος ὠνομάσθη. Τηνικαῦτα καὶ οἱ ῥουμοῦνοι καθόλου χριστιανοὶ ἐγένοντο· ἦσαν γὰρ καὶ πρότερον οἱ τῶν τοῦ Χριστοῦ οὐκ ἀμύητοι ἐτύγχανον. Περὶ τούτους τοὺς χρόνους καὶ οἱ βούργαροι τὸν χριστινιασμὸν ἐδέξαντο παρὰ Μεθοδίου ἀδελφοῦ τοῦ Κυρίλλου. Ἐκ τούτου οὖν τοῦ χρόνου σύμπαντες οἱ ῥουμοῦνοι χριστιανοὶ ἦσαν, τῇ ἀνατολικῇ καὶ παλαιᾷ καὶ καθολικῇ ἐκκλησίᾳ προσκείμενοι, καὶ οὐδέ ποτε ἀπεσχίσθησαν. Εἰδέτινες παθῶν ἥττους, ἀνδράποδα αὐτόχρημα, κολακείας φίλοι, ἀληθείας πολέμιοι καὶ ὑπερόπται, ἐκείνης μᾶλλον ἢ ταύτης φροντίζοντες, ἕτερα παρὰ τὰ πράγματα ἐξέδωκαν, πᾶσαν Ρουμουνίαν τῷ δυτικῷ προσκεχωρηκέναι δόγματι καταφλυαροῦντες, οὐ θαυμαστὸν, θαυμαστὸν δὲ μάλιστα, ὅτι ἄνδρες σεβάσμιοι ἄλλως διὰ παιδείαν, ἠχὼ τῶν ψευσμάτων ἐκείνων γίνονται· καὶ τοὺς μὲν ῥουμούνους τοὺς*

αὐτόχθονας τρόπον τινὰ τοῦ τόπου, τοὺς ἐγγενέας κατοίκους, καὶ συμπάντων τῶν ἐπηλύδων πολὺ πολυαριθμοτέρους, τὸ ἔθνος τὸ τοῦ μεγάλου Τραϊανοῦ δημιούργημα, περιφρονοῦσι καὶ ὡς οὐδὲν οἴονται ἀρότρου. καὶ καλαύροπος βαρβαρικῶς ὑπερορῶντες, ξίφεσι δὲ καὶ δόρασι καὶ πυροβόλοις ὅπλοις, καὶ σκολιῷ κηρυκείῳ, χυδαϊκῶς ἐπτοημένοι· ἐπήλυδας δέ τινας ἐλάσσονος λόγου ἀξίους ὄντας, ἐν πολλῷ λόγῳ τιθεμένους. Μπίσσεγγ τὸν γεωγράφον, ἄλλως ἀξιόλογον ἄνδρα ὄντα διὰ παιδείαν, καὶ δι' ἃ καταλελοίπει ἡμῖν συγγράμματα, οὐκ ἄν τις δικαίως ἀγανακτήσειεν ὁρῶν, τοὺς ἐν Αρδὲλ ῥουμούνους ξένους καλοῦντα καὶ μηδενὸς ἀξιοῦντα λόγου; Ετερος δέ τις λέγων ὅτι οἱ σάξοι ἐν Αρδὲλ εἰκοσιπεντάκις πλείους συμπάντων τῶν ἑτέρων κατοίκων εἰσίν, ἄξιος οὗτος ἱστορικὸς ὀνομάζεσθαι, ἀγνοῶν τὸ τῆς ἱστορίας ἀλφαβῆτα παντάπασι;

Μετὰ τοὺς χαζάρους καὶ βουργάρους, τοὺς μοαγγυύρους βλέπομεν περιπλανω-

μένους ὀλίγον ἐν τῷ Γύλα, ἢ διαβαίνοντας καὶ πέραν τοῦ Τισσοῦ κατασκηνώσειν μέλλοντας. Μετέπειτα δὲ καγγάρους ὁρῶμεν μέχρι Τισσοῦ τὴν ἀρχὴν αὐτῶν παρατείναντας, τὰ ἀριστερὰ παρατίσσια μέχρις Αρδὲλ καὶ Μαρίσσου καὶ Κέρες, ἴσως καὶ περεταίρω, Γύλα ὀνομάσαι. Μετὰ ταῦτα δὲ Θούουτος, βοεβύδας ἢ φύλαρχος μοαγγυόρος, Μπανὰτ καὶ Γύλα ὑπέταξεν ἐν μέρει πάντως, καὶ ὡς ἡγεμὼν ἀνεξάρτητος ἦρχεν ἐνταῦθα, τὴν ἀρχηγεμονίαν μόνον γνωρίζων τοῦ βασιλέως τῶν μοαγγύορων. Τέλος καὶ τὸ Γύλα νομὸς ἄμεσος τῆς Μοαγγυορίας γίνεται. Οἱ δὲ ῥουμοῦνοι τοῦ Γύλα χριστιανοὶ τοῦ ἀνατολικοῦ δόγματος ἤδη τυγχάνοντες, Ἱεροθέου ἐπισκόπου τῶν τύρκων ἐπίστρεμμα εἶναι οὐκ ἐδύναντο· ὅ, τε Γεουλᾶς ὑποκειμένους χριστιανοὺς ἔχων καὶ ὑπερορῶν ἴσως, ἐκ τοῦ πατριάρχου καὶ αὐτοκράτορος τὸν χριστιανισμὸν ἔγνω δέξασθαι, καὶ ἐπὶ τούτῳ ἐς Κωνσταντινούπολιν ἵκετο, πολιτικώτερον βουλευσάμενος ἴσως, εἰμὴ

ἀλαζονικώτερον. Νῦν δὲ ἀκούομεν τούτους τοὺς ἐν τῷ Γύλα ῥουμούνους, τοὺς πλείους εἰμὴ τοὺς πᾶντας, ἀπεσχισμένους τῆς καθόλου καὶ παλαιᾶς ἐκκλησίας καὶ τῇ δυτικῇ ἡνωμένους, ἀπὸ τοῦ χρόνου ἴσως καθ' ὃν καὶ ἕτεροι καταλιπεῖν τὴν πατρῴαν θρησκείαν, ἀντιχρίστως κατηναγκάσθησαν.

Οποιωσοῦν μὲν οὖν ἂν ᾖ τὸ Γύλα ὑποδιῃρημένον, μελέτω τοῖς τὸν τόπον οἰκοῦσι καὶ χρῄζουσι τὰ τῆς διοικήσεως εἰδέναι, ὑφ' ἣν πολιτέυονται· ἡμῖν δέ καθολικώτερον καὶ γεωγραφικώτερον μᾶλλον ἢ ἱστορικώτερον τὰς διαιρέσεις τῶν τόπων θεωροῦσι, μικρὰ πάντῃ μέλει· ἐπειδή καὶ μικρὰ παντάπασι διαφέρει, καὶ σπουδῆς ὑποκείμενον γεωγραφολογοῦντας ποιεῖσθαι τὰ συχνάκις μεταβαλλόμενα καὶ μετατρεπόμενα, περιττὸν τυγχάνει παντάπασιν. Ο δὲ ἀναγκαῖον τυγχάνει, καὶ ἡμῖν νυνὶ, καὶ τοῖς μετέπειτα ἐσομένοις, τὸ εἰδέναι ἐστὶ μετὰ προσδιορίσεώς τινος τὰς θέσεις τῶν ἀξιολογωτέρων πόλεων, πο-

ταμῶν, ὀρέων καὶ εἴτι ἄλλο διὰ ὁποιανοῦν αἰτίαν ἐστὶν ἀξιόλογον. Πρὸς τοῦτο αἱ φυσικαὶ διαιρέσεις μᾶλλον, ἤπερ ἄλλαι, ὁποῖαι ποτ' ἂν ὦσι, συντείνουσι, καὶ ταύταις δεῖ τοὺς γεωγραφοῦντας προσέχειν μάλιστα, τοὺς συναδελφοὺς αὐτῶν, τούς τε νῦν καὶ τοὺς μετὰ σφᾶς ἐς τὸν βίον ἐλευσομένους, πραγμάτων πολλῶν ἀπαλλάττοντας, καὶ παύεσθαι ὁρίζειν, ἅττα ἡ φύσις ὁρίσαι οὐκ ἠθέλησε καὶ ἀόριστα κατέλιπε. Παρὰ τῷ Πτολεμαίῳ ὁρῶμεν πολλὰς πόλεις ἐν Ρουμουνίᾳ· ἀλλὰ προσδιορίζειν καὶ κατὰ μέρος πως τὸν τόπον, οὐ ῥᾴδιον· καὶ ὁ τότε μοιρασμὸς παρὰ πλεῖον τἀκριβοῦς ἀπολείπεται, ἢ ὥστε ἔχειν τινὰ προσδιορίζειν τὸν τόπον ἑκάστης πόλεως, καὶ ὁ ἀκριβὴς ἐνιότε, οὐδὲν ἐς προσδιόρισιν, ὥσπερ καὶ ὁ σταδιασμὸς, ὀνίνησιν. Η Δινογέτεια ἀμέλει, πάντως κατ' αὐτὸν πλησίον που τῆς ἐκβολῆς τοῦ Προύτου ἔκειτο· ἀλλὰ πότερον, ἐν δεξιᾷ τοῦ Ιστρου ἢ ἐν Αριστερᾷ; Εκειτο μὲν οὖν κατ' αὐτὸν ἐν τῇ Μυσίᾳ, ἀλλὰ κατ' αὐτὸν ἡ Μυ-

σία ὑπὲρ Ἴστρον καὶ Τύραν ἐξετείνετο, καὶ κατ᾽ αὐτὸν ταῖς μοίραις καὶ τοῖς λεπτοῖς τοῦ μήκους τε καὶ πλάτους ἴσως ἐπερειδόμενον, πολὺ τοῦ ἀκριβοῦς ἀπολειπομένων, ἡ θέσις τῆς Δινογετείας ἀμφισβητήσιμος. Πότερον πάλιν ἡ Νικωνία καὶ ἡ Ὀφιοῦσσα ἄμφω αἱ πόλεις, ἐν δεξιᾷ εἰσι τοῦ Τύρα ἢ ἐν ἀριστερᾷ; καὶ ποτέρα τῶν δύο τούτων ἐν δεξιᾷ; Ἄδηλον καὶ τοῦτο κατ᾽ αὐτόν παντάπασι. Ταῦτ᾽ ἄρα ἐφεξῆς, φεύγοντες τὴν ἀπροσδιοριστίαν, ἣν ὁ νοῦς ἀποστρέφεται, ὡς ἐς τὰς γνώσεις τῶν ὄντων ὑπὸ ταύτης δυσκολυνόμενος καὶ συμποδιζόμενος, τὰς ἐφεξῆς φυσικὰς διαιρέσεις προειλόμεθα· ἄλλως τε καὶ περιττῆς οὔσης ἑκάστης ἄλλης ὁποιασοῦν τῷ ἀναγινώσκοντι. Λαμβάνοντες οὖν τοὺς ποταμοὺς ὅρια, ἀρχόμενοι ἐκ τοῦ βορείου τοῦ Γύλα, ἔχομεν τοὺς ἐφεξῆς ὑπονομούς.

*Ὑ π ε ρ τ ί σ σ ι ο ς   ὑ π ο ν ο μ ό ς.*

Ὁ ὑπονομὸς οὗτος περιλαμβάνει τὰ ἐν δεξιᾷ καὶ βόρεια τοῦ Τισσοῦ, ἐκτεινό-

μενος μέχρι τοῦ Ουγγ ἐκ δυσμῶν, καὶ τῶν Καρπαθίων πρὸς βοῤῥᾶν καὶ ἕω.

*Χοῦστ*, φρούριον ὀχυρὸν ἐπ᾽ ὀχυρωτέρας πέτρας κείμενον, καὶ ὑπερκείμενον κωμοπόλεως ὁμωνύμου, παρὰ τὴν ἐς τὸν Τισσὸν ἐκβολὴν ποταμίου, ἐν τῷ Μαραμός. Εντεῦθεν, ὡς λέγεται, ὁ Μπόγδανος ἢ ὁ υἱὸς αὐτοῦ Δραγγότζης εἰς τὸ ἑῷον τῆς Ρουμουνίας κατέβη, καὶ τὴν μέλαιναν Κουμανίαν κατακτησάμενος, τὴν ἐπικράτειαν τῆς Μολδόβης ἵδρυσε.

*Κερεζμέζε*, κωμόπολις πρὸς ἕω τοῦ Χοῦστ, παρὰ τὸν Τισσὸν ἀρχόμενον.

*Μουνκὰς*, πόλις ἐν δεξιᾷ ὄχθῃ τοῦ Λατόρζα, πρὸς τὸ δυτικοβόρειον τοῦ ἀγκῶνος τοῦ Τισσοῦ.

*Ουγγβὰρ*, πόλις ἐς τὸ βόρειον τοῦ ἀγκῶνος ἐν τῇ ἀριστερᾷ ὄχθῃ τοῦ Ουγγ.

### Υποτίσσιος ὑπονομός.

Εχει πρὸς ἕω, μέρος τῆς Μπουκοβίνης, καὶ τὰ Καρπάθια, πρὸς νότον, μέρος τῆς Μπουκοβίνης καὶ τὸ Αρδὲλ, καὶ τὸν Κράσναν ποταμόν.

*Σίγετλι*, κωμόπολις ἐν ἀριστερᾷ τοῦ Τισσοῦ, ἐν τῷ Μαραμύς.

*Βίσκ*, κωμόπολις παρὰ τὸν Τισσόν.

*Μπάϊα μάρε*, πόλις πρὸς ἔω τοῦ Σομόσσεως ποταμοῦ, παρὰ τὸ ὅριον τοῦ Αρδὲλ, ὅπου χρυσοκοπεῖον διὰ τὰ παρακείμενα χρυσεῖα.

*Μπάϊα σπρίε*, κωμόπολις μεγάλη, πρὸς ἔω καὶ πλησίον τῇ ἀνωτέρω πόλει.

*Σατμάρε*, πόλις ἐν δεξιᾷ τοῦ Σομόσσεως.

*Νέμετι*, κωμόπολις, πλησίον τοῦ, Σατμάρε.

## Κρασνοκερέσιος ὑπονομός.

Ο ὑπονομὸς οὗτος περιέχει τὰ ἀναμεταξὺ Κράσνα, Τισσοῦ, καὶ τοῦ βορειοτέρου Κέρες.

*Μαργγίτα*, πόλις ἐς τὸ βόρειον τοῦ Κέρες.

*Ντέμπρετζιν*, πόλις μεγάλη, πολυάνθρωπος, ἀπεριτείχιστος, ἐν τῷ μέσῳ τοῦ ὑπονομοῦ, ἐν εὐρυχωροτάτῃ πεδιάδι·

ὑπὲρ τὰς δώδεκα ὥρας πανταχόθεν τῆς πόλεως ἐκτεινομένη.

### Μεσοκερέσιος ὑπονομός.

Ο ὑπονομὸς οὗτος περιλαμβάνει τὰ ἀναμεταξὺ τῶν δύο Κέρες ποταμῶν, καὶ τοῦ Αρδέλ.

Ορἀδιε μάρε, φρούριον ὀνομαστὸν, πόλις, ἐν τῷ μέσῳ τοῦ ὑπονομοῦ, παρὰ τὸν μέσον Κέρες.

Ζιούλα, πόλις παρὰ τὸν νότιον Κέρες, ἐς τὸ δυτικονότιον τοῦ Ορἀδιε μαρε.

### Κερεσμαρίσσιος ὑπονομὸς.

Ο ὑπονομὸς οὗτος περικλείει τὰ ἀναμεταξὺ τοῦ Αρδὲλ, Μαρίσσου, Τισσοῦ καὶ νοτίου Κέρες.

Αράδ, φρούριον καὶ πόλις ἐπὶ Μαρίσσου, ἐς τὸ βόρειον τοῦ Τεμεσβάρ.

Τζονὰδ, πόλις ἐπὶ Μαρίσσου, πρὸς δυσμὰς τοῦ Αράδ.

Μακὸ, κωμόπολις πρὸς δυσμὰς τοῦ Αράδ.

Βασιάρχελυ, πόλις παρὰ τὸν Τισσόν.

## Νομοῦ Αρδὲλ ὑπονομοί.

Τὸ δὲ Αρδὲλ ἢ Ερδὲλ ἀπὸ τοῦ Ερτὲμ ἢ Ηρτημ καγγαρικῆς λέξεως δρυμὸν σημαινούσης καταβαῖνον, ὑποτάξαντες οἱ βασιλεῖς μοαγγυόροι, ἰδίᾳ ὑπὸ βοεβόδας πολιτεύεσθαι εἴασαν. Μήποτε δὲ ἡ ἰδιοπολιτεία αὕτη αἰτιλογουμένη, ἐκ τῆς ἰδιοπολιτείας τῶν θουουτιδῶν προκύπτει, οἵτινες ἀποβαλόντες τὸ Γύλα, ἐνταῦθα περιωρίσθησαν, κατακτησάμενοι μετὰ ταῦτα τὸν τόπον, ὡς ἀνωτέρω εἴδομεν; Αλλ' εἰ καὶ οἱ τζέκλερ καὶ οἱ σάξοι ἰδίᾳ πολιτεύονται καὶ τὴν ἐξουσίαν τῶν βοεβοδῶν συμβαίνει οὕτω πολὺ περιορίζεσθαι, καὶ ἐς στρατηγίαν καταντᾷν, ὅμως οἱ βασιλεῖς μοαγγυόροι, ὑπονοοῦντες τὴν δύναμιν αὐτῶν, δύο καὶ τρεῖς ἅμα, ἐσθ' ὅτε καὶ τέσσαρας ἐν τῷ αὐτῷ χρόνῳ ἐγκαθίστασαν βοεβόδας τοῖς ἐν Αρδὲλ ἰδίᾳ πολιτευομένοις μοαγγυόροις, πολυαρχίᾳ οὕτω τὴν σφετέραν ἐκεῖ ἡγεμονίαν προασφαλίζοντες.

*Μετὰ δὲ ταῦτα, στάσεων ὑπὲρ διαδοχῆς ἐν Μοαγγυορίᾳ ἀναφυεισων, καὶ ἐν Αρδὲλ ὑπὲρ τῶν προνομίων τῶν σάξων, ἔντε τῷ Δαϋτζλὰνδ τοῦ νέου δόγματος τοῦ Λουθήρου κρατυνομένου καὶ ἐκτεινομένου, περὶ τὰς ἀρχὰς τοῦ δεκάτου ἕκτου αἰῶνος, καὶ ἤδη κυκλομιλιῶν ἐν Αρδελίῳ λουθηρικῶν συνισταμένων, καὶ τῶν βιβλίων τοῦ νέου διδασκάλου ἀναγινωσκομένων καὶ καταβιβρωσκομένων, οὕτως εἰπεῖν, ἐξήπτοντο αἱ κεφαλαὶ, μετεβάλλοντο αἱ γνῶμαι, καὶ ἐταράττοντο ταῖς τῶν συμβαινόντων σκέψεσι, καὶ τὸ νέον δόγμα συνηντᾶτο ταῖς περιστάσεσι δεξιώτατα. Οι σάξοι ὑπὸ τοῦ ἐπισκόπου ἐνοχλούμενοι, καὶ λόγοις Ισχυροῖς ἐν ταῖς ἀναγνώσεσι τῶν βιβλίων τοῦ Λουθήρου θαυμασίως προμηθευόμενοι, καὶ παρ᾽ ἀνθρώποις βίᾳ καὶ ὑποταγῇ μᾶλλον ἢ λόγῳ χαίρουσι, μηδὲν διαπραττόμενοι, κατὰ μικρὸν ὀπαδοὶ τοῦ Λουθήρου ἐρεθιζόμενοι ἀνακηρύττεσθαι ἤρχοντο. Πεμφλιγγέρος ἁρμοστὴς Βασιλέως ἐν Σιμπὶν τυγχάνων, καὶ τοῖς σάξοις*

ἀρήγειν βουλόμενος, ἐν τοῖς βιβλίοις τοῦ Λουθήρου, οἷς πεῖσαι τὸν ἐπίσκοπον ὑπὲρ σάξων ζητῶν, ὀπαδὸς τοῦ πάππα τυγχάνων, ἔλαθεν ἑαυτὸν ζηλωτὴς λουθήρου διακαὴς γενόμενος καὶ προστάτης τῶν σάξων ἔνθερμος. Προχωρουσῶν δὲ τῶν διαφορῶν καὶ στάσεων, τοῦ λατινικοῦ κλήρου τοῖς λεγομένοις αὐτοῦ δικαίοις ἰσχυρογνωμονέστερον ἐπιμένοντος, καὶ βίαν ἐπαπειλοῦντος, τῶν τε σάξων ἀκαμπτοτέρων γενομένων καὶ μὴ ἐνδιδόντων παντάπασι, δι' ἐπιταγῆς βασιλικῆς ἀναζητήσεις τῶν λουθηρικῶν βιβλίων γίνονται, καὶ δημοσίᾳ ἐν τῇ τοῦ Σιμπὶν ἀγορᾷ πυρὶ τὰ βιβλία, ἡ δ πλοθήκη τῶν σάξων κατὰ τοῦ πάππα, καταδικάζεται. Ταῦτα διαπραξάμενοι οἱ λατῖνοι, ἔλαθον ἐλαίῳ, τὸ δὴ λεγόμενον, σβέσαι τὸ πῦρ ἐθελήσαντες· οἱ γὰρ κάτοιτοικοι τοῦ Σιμπὶν, θεαταὶ τοῦ γινομένου τυγχάνοντες, καὶ ὅπλον τοῦ ψεύδους καὶ σκοτεινὴν ἀπόδεξιν τὸ πῦρ οἰηθέντες, τοῖς τοῦ Λουθήρου προσεχώρησαν δόγμασι, μάλιστα δὲ καὶ τὸ θαῦμα ἰδόντες, ἢ ἰδοῦ-

σιν ἑτέροις πιστεύσαντες. Ψαλτήριον δαϋτζιστί γεγραμμένον, καὶ διὰ τοῦτο μόνον πυρὶ κατακριθὲν, ἀνέπαφον ἐκ μέσου τῆς φλογὸς ἐς ὕψος ἀρθὲν, ἔπειτα τὴν πρὸς τὰ κάτω φορὰν βιαίως καὶ στιβαρῶς φερόμενον, ἐμβριθέστερον ἐμπίπτει τοῖς νώτοις τοῦ καλοῦ πυρυπηρέτου, καὶ αὐτίκα πίπτει κατὰ γῆς νεκρὸς ὁ ἄνθρωπος, καταπλαγεὶς θαυμαστώτερον ἢ καταπληγεὶς σφοδρότερον. Ου θαυμαστὸν δὲ εἰ τοιαῦτα θαύματα φιλεῖ ἐνίοτε γίνεσθαι· τὸ γὰρ φανταστικὸν, ὡς ἔοικε, τῶν παρεστώτων θεολήπτων, οὐδὲν ἧττον τοῦ παραφλέγοντος πυρὸς ἐξαπτόμενον, ἱκανὸν ἦν ἐντυποῦν καὶ παριστάναι πρὸ ὀφθαλμῶν τοιαῦτα ἰνδάλματα· εἰδώλων γὰρ πραγμάτων ἐν τῷ μυχῷ τοῦ ὀφθαλμοῦ ἐντυπουμένων, οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ μυχῷ τοῦ φανταστικοῦ φαντασμάτων, μετὰ μηδεμίαν παρώστασιν ἐγκεκολαμμένων, ταραττομένης τε καὶ ἐνθέου τῆς ψυχῆς γενομένης, ἀντενεργεῖ ἡφαντασία καὶ ἀντιπαριστᾷ ἡμῖν, ὡς πρὸ κοίλου καθρέπτου, ἃ οὐδ' ὅλως ὑπάρχουσι

πράγματα. Ου βλέπομεν πολλάκις νοσοῦντες, σπινθῆρας, ἀράχνια, ὄφεις καὶ σχήματα καὶ σώματα τερατώδη, οὐδεμίαν ὕπαρξιν ἔχοντα; τοῦτο καὶ ὑγιαίνουσι μὲν, νοσοῦσι δὲ τὴν φαντασίαν συμβαίνει.

Εν τούτοις τοῖς χρόνοις καὶ Ιωάννης Τζεπολίας, βοεβόδας πρότερον τυγχάνων τοῦ Αρδὲλ, καὶ πρὸ πολλοῦ τὴν βασιλείαν μετιὼν, ἀναγορεύεται ὑπὸ τῶν φίλων βασιλεὺς μουγγυόρων, τοῦ μείζονος κόμματος βασιλέα ἕτερον ἀνειπόντος, τὸν Εστραϊχικὸν Φερδινάνδον, καὶ κελεύει σύμπαντας τοὺς ἐν Αρδὲλ λουθηρόφρονας ἡβηδὸν κατασφαγῆναι· ἀλλὰ παραλόγου καὶ θεομανοῦς ἐπιταγῆς οὐδὲν πλέον ἐγένετο, τοῦ ἀριθμοῦ τῶν τοῦ νέου δόγματος ὀπαδῶν καθ' ἑκάστην αὔξοντος, καὶ ἀνταίρειν χεῖρα ἤδη κρατερὰν ἔχοντος, τῶν περιστάσεων σφίσι δεξιῶν οὐσῶν. Ιωάννης δὲ ἐν μέσῳ κλύδωνος πολιτικοῦ καὶ ζάλης θεομανικῆς ἀποληφθεὶς, καὶ νῦν μὲν ὑπὸ τὴν φιλίαν ἢ προστασίαν τῶν τύρκων ὢν, νῦν δὲ συνθήκας βεβιασμένας πρὸς χάριν Φερ-

*διvάνδου ποιούμενος, ἤδη νοσῶν καὶ δυσανάληπτος ὤν, καὶ τοῦ νευρικοῦ συστήματος ὁποιωνοῦν ἀγγελιῶν παρὰ πολὺ ἥττονος γενομένου, νεωστὶ τεχθέντος υἱοῦ ἀγγελίας αὐτῷ ἐλθούσης, ἐτελεύτησεν.*

*Ην δὲ αὐτῷ γύναιον, κομιδῇ μὲν νέον τυγχάνον, συνέσεως δὲ καὶ διπλόης πολιτικῆς, ὥσπερ πεπαλαιωμένων γραΐδιον, ἔμπλεων, γνήσιον τῷ ὄντι τέκνον πανούργου μητρὸς τῆς γυναικὸς τοῦ βασιλέως τῆς Πόλσκης Σιγισμούδου, καὶ ταῖς αὐτῆς συμβουλαῖς συναιρόμενον, τὴν βασιλείαν τοῦ Αρδὲλ καὶ τοῦ Γύλα ὑπὸ τὴν προστασίαν τῶν Τύρκων διαδέχεται, ὡς ἐπίτροπος τοῦ νεωστὶ τεχθέντος. Λειτουργὸς δὲ ἦν αὐτῇ Γεώργιός τις τοῦ Οραδιεμάρε ἐπίσκοπος, καὶ ζηλωτὴς τοῦ πάππα ὑπὲρ τὸ δέον ἔνθερμος, καὶ παρὰ τῇ νέᾳ βασιλίσσῃ μέγα δυνάμενος, πάντα ἐποίει ἐφ' ᾧ τοὺς σάξους καὶ μοαγγυύρους καὶ τζέκλερ, ἐπὶ τὸν νέον δόγμα θερμῶς ὁρμῶντας, ἀναχαιτίζειν· ἀτὰρ οὐδὲν ἤνυεν. Καί ποτε τοῖς λουθηρόῤῥοσι λόγον αὐτὸν ἀπαιτοῦ-*

σι, σαφέστερον τὴν Τυραννικὴν αὐτοῦ θεομανίαν ἀνεκάλυψε, λέγων, ὡς οὐ λόγοις, ἀλλὰ ξίφει καὶ πυρὶ, (ὡς λαμπρᾷ τάχα ἀποδείξει) τοῖς ἀντιφερομένοις τῷ πάππᾳ ἀποκρίνεσθαι προσήκει. Σάξοι δὲ πολλοὺς διωγμοὺς ὑπομείναντες, ἔγνωσαν τέλος καὶ αὐτοὶ διώκειν ἐκ περιόδου, καὶ τὸν λατινικὸν κλῆρον ἐκ τῶν σφετέρων ἐξέβαλον. Μετὰ ταῦτα δὲ καὶ ἡ βασίλισσα Ελισαβὲτ τὸν λουθηρισμὸν ἐναγκαλίζεται, καὶ ὀπαδὴ τοῦ λουθήρου ἐτελεύτησε, πολλὰ ἐν τοῖς τοιούτοις καιροῖς ὑπενέγκασα.

Σιγισμοῦνδος ὁ υἱὸς αὐτῆς λουθηρανὸς καὶ αὐτὸς ὤν, ἐς τὸ τοῦ Καλβίνου δόγμα, ἤδη παρὰ τοῖς μοαγγνόροις ἐκτεταμένον, μεταβαίνει· καὶ μετὰ ταῦτα πάλιν ἐς ἕτερον περᾷ, ἐν Αρδὲλ φυὲν, τὸ τῶν λεγομένων ἀντιτριαδιστῶν, ἢ οὐνιταρίων ὡς αὐτοὶ ὀνομάζονται, ὅ ἐστιν ἑνιστῶν ἢ μοναδιστῶν, οὓς καὶ ἀρειανοὺς διὰ τὸ ὁμοιόφρον ὀνομάζουσι, καὶ σοσιανοὺς ἔτι ἀπό τινος ἀρχηγοῦ τοῦ δόγματος. Σιγισμοῦνδος οὖν ἐναγκαλισάμενος τὸ τῶν μοναδιστῶν δό-

γμα, ζηλωτὴν αὐτοῦ ἑαυτὸν καὶ προαγωγέα ἔνθερμον ἐναπέφηνε, καὶ ἀντικαστῆσαι τοῦτο τοῖς ἄλλοις ἅπασι δόγμασι μεγαλοῤῥημονῶν ἐπηγγείλατο· ἀλλὰ μεγάλα λέγων, μικρὰ πράττων δι' ἀσθένειαν νοὸς, μηδενὶ ἐγχειρῶν, μηδὲν ἐκτελεῖν ἱκανὸς ὢν, καὶ τὰς τῶν ἑτέρων γνώμας κρίνειν ἀνίκανος, οὐδὲν τῶν λεγομένων ἐς ἐκτέλεσιν ἤνεγκεν.

Ἐν δὲ τῇ τοιαύτῃ τῶν θρησκοφρονημάτων τῶν ἐπηλύδων μετὰ στάσεως καὶ μανίας καὶ φρενήτιδος συγκρούσει καὶ διαμάχῃ καὶ διασχίσει, οἱ ἡμέτεροι ῥουμοῦνοι, γάλακτος αὐτῶν ἐν ταῖς ἀρτηρίαις περιῤῥεομένου, ὡς λέγεται, καθάπερ ἐν θεάτρῳ τραγῳδίας τῶν ἀλλοδαπῶν ἐν οἰκτροῖς κομματίοις λυσσομανούντων καὶ διαῤῥυγνυμένων, ἥσυχοι πάντως θεαταὶ ἐτύγχανον. Ἴσως δὲ καί τινες τῇ βιαίᾳ φορᾷ τοῦ καιροῦ φερόμενοι, καὶ κατ' ἀνάκλασίν πως βαλλόμενοι, ἐνέδωκαν, καὶ τῆς σκηνῆς μετέσχον· καὶ γὰρ ὁρῶμεν καὶ ῥουμούνων κώμας, δύο που ἢ τρεῖς περί-

που τῷ νέῳ δόγματι προσχωρησάσας, καὶ ῥουμουνιστὶ τοὺς ποιμένας, τάς τε τελετὰς ἐν ταῖς ἐκκλησίαις καὶ τὰς εἰωθυίας ὁμιλίας τελοῦντας. Ἐν δὲ τῇ ἑκατοστῇ ὀγδόῃ ἑκατονταετηρίδι, ἐπὶ Μαρίας Θηρεσίας, γυναικείως ἐνδούσης τοῖς περὶ ε̄ κακοδαίμοσι μοναχοῖς λατίνοις, λυσσομανῶς αὐτῇ διὰ θεομανίαν ἐγκειμένοις, παντοίοις τρόποις οἱ ῥουμοῦνοι, ὥσπερ καὶ οἱ ἕτεροι ὀρθόδοξοι, ἀποσχισθῆναι τοῦ κόλπου τῆς ἀρχαίας καὶ καθόλου ἐκκλησίας ἀπανθρώπως κατηναγκάσθησαν· καὶ ταῦτα ἑτέρων μετὰ κλέους ὑπ᾽ ἄρκτον ἀρχουσῶν, καὶ ἐκ διαμέτρου ἀντιπολιτευομένων, καὶ τὰ φρονήματα τῶν διαφόρων θρησκειῶν εὐαγγελικῶς σεβομένων, καὶ τὴν μεγάλην ἀρχὴν αὐτῶν φύξιμον τόπον τῆς ἱερᾶς ἀνεξιθρησκείας ποιουμένων. Οὕτω μὲν οὖν ἐν τοῖς βαρβάροις χρόνοις φιλοσοφικώτερον καὶ ἀνθρωπινώτερον ἀγόμενοι, ἐν τοῖς λεγομένοις φιλοσοφικοῖς, βαρβαρώτερον καὶ ἀπανθρωπότερον ἐπηρεαζόμενοι οἱ ῥουμοῦνοι, πολλοὶ τῆς πατρῴας αὐτῶν ἐκκλη-

σίας ἀπεσχίσθησαν βίᾳ καὶ ἀπεσπάσθησαν. Ἀλλὰ γὰρ πάλιν καὶ τούτων πολλοὶ, βασιλεύσαντος τοῦ μεγάλου καὶ φίλου τῆς ἀνθρωπότητος Ιωσήπου, ἀποῤῥίψαντες, ὃ βίᾳ εἰλήφεσαν δόγμα, ἐς τοὺς κόλπους τῆς μητρῴας αὐτῶν καὶ ἀρχαίας ἐκκλησίας ἐπέστεψαν ἄσμενοι.

Ιωάννου Σιγισμούνδου μικροῦ καὶ μικρὰ πράττοντος ἀνδρὸς, ὥσπερ ἔφημεν, τελευτήσαντος, Μπαθὼρ ἀναδείκνυται βοεβόδας τοῦ Αρδὲλ, ἀνὴρ διὰ σύνεσιν πολιτικὴν καὶ διὰ βάθος νοὸς καὶ διὰ μεγαλοφροσύνην, ἐν τοῖς τότε χρόνοις, περιώνυμος· ὅθεν καὶ βασιλεὺς Πόλσκης ἐκλέγεται μετέπειτα. Ην μὲν οὖν οὗτος ὑπὸ τὴν ὑπεράσπισιν τῶν τύρκων, καὶ τὸ Αρδὲλ νῦν μὲν ὑπὸ τοὺς τύρκους, νῦν δὲ μετὰ μοαγγυόρων ὑπὸ τὸν ἐστραϊχικὸν αὐτοκράτορα καὶ βασιλέα μοαγγυόρων, ἐτύγχανε. Τέλος δὲ κατὰ τὸν ὀγδοηκοστὸν ἔνατον ἐνιαυτὸν τῆς δεκάτης ἑβδόμης ἑκατονταετηρίδος, ἐκβληθέντων ἐκ τῶν ἐντὸς τῶν ἄνω τῶν καταρακτῶν τοῦ Ιστρου τῶν

τύρκων, ὑπετάχθη τὸ Αρδὲλ τῷ βασιλεῖ τῶν μοαγγύρων, καὶ ὡς μέρος μὲν Μοαγγυρίας, ὑπὸ ἴδιον δὲ βοεβόδαν ἐτύγχανεν. Εν δὲ τῷ δεκάτῳ τρίτῳ ἐνιαυτῷ τῆς ὀγδόης ἑκατονταετηρίδος, ἀποθανόντος τοῦ ἐσχάτου βοεβόδα ἀκλήρου, ἐπαρχία τῆς Μοαγγυρίας γίνεται, καὶ μετὰ ταῦτα ἀπεχωρίσθη πάλιν, καὶ τὸ ἐστραϊχικὸν ἐδέξατο πολίτευμα, καὶ ἀνεξάρτητος τόπος ἀνεκηρύχθη τῇ κεφαλῇ τοῦ ἐστραϊχικοῦ οἴκου ἀνήκων.

Ιδοὺ καὶ ἃ ὁ Χαλκονδύλης περὶ τοῦ Αρδὲλ φησί. Τὸ δὲ Αρδέλιον τοῦτο ἀπὸ Πρασσοβοῦ τοῦ ὄρους ἐπὶ Παννονίαν διήκει, ἐντὸς δρυμῶνος γενομένη ἅπασα ἡ χώρα· καὶ πόλεις ἔνεισιν ἐν ταύτῃ τῇ χώρᾳ οὐκ ὀλίγαι, μητρόπολις δὲ αὐτῶν τὸ Σιβίνιον καλούμενον· γλώττῃ δὲ χρῶνται τὰ μὲν, παννονικῇ, τὰ δὲ, καὶ δακῶν· καὶ ὑπὸ τῷ παιόνων βασιλεῖ οὖσα αὕτη ἡ χώρα, ἄρχοντα δέχεται, ὃν αὖ αὐτῇ ὁ βασιλεὺς παιόνων ἐφιστῴη. Αὐτόνομοι δὲ αἱ πόλεις εἰσὶ, καὶ ὑπὸ τὴν μητρόπολιν τὸ Σιβίνιον

εὐθύνονται. Ἐπὶ ταύτην οὖν δὴ τὴν πόλιν, τὸν Ἴστρον διαβὰς ὁ Μεζέτης ὁ τῆς Εὐρώπης στρατηγὸς τύρκος (ἐπὶ Μουρὰτ τοῦ δευτέρου), ἤλαυνε πολιορκήσων, καὶ ἀγχοῦ ἐπὶ τῇ πόλει γενόμενος, ἐστρατοπέδευσεν. Ἐνταῦθα δὲ, ὡς ἐπολιόρκει τὴν πόλιν, τηλεβόλῳ βληθεὶς ἐτελεύτησε, καὶ ὁ στρατὸς κατεδιώχθη, ὑπὸ τῶν Ἀρδελιανῶν.

Ἔστι μὲν οὖν τὸ Ἀρδὲλ, ὡς καὶ ἐκ τῶν ἀνωτέρω δῆλον, ἐν τῷ μέσῳ πως τῆς Ρουμουνίας, πλησιέστερον βοῤῥῆθεν ταῖς ἄκραις τυγχάνον, ἢ ἐκ τῶν ἑτέρων μερῶν, καὶ ὁ ὑψηλότερος τῆς Ρουμουνίας τόπος· καὶ γὰρ ἐκ τούτου ἐς πάντα τὰ ἕτερα μέρη τῆς Ρουμουνίας καταῤῥέουσι ποταμοὶ, ὧν οἱ ἀξιολογώτεροι, Σόμοσσίς ἐστι, ὃ ἐν τῷ βορείῳ τοῦ Ἀρδελίου ῥέων, ἔκ τε τοῦ μικροῦ καὶ μεγάλου συγκείμένος, ἐξέρχεται μετὰ τὴν σύμπτωσιν, καὶ διαπεράσας τὸν ὑποτίσσιον ὑπονομὸν τοῦ Γύλα, τῷ Τισσῷ συμμίγνυται· Κράσνας, ὃς βρέξας τὸ δυτικοβόρειον τοῦ Ἀρδὲλ, ἐξίησιν ἐς τὸ Γύλα, καὶ ὁρίσας τοὺς ὑπο-

νομοὺς, ἐς τὸν Σόμοσσιν ἐκχύνεται· οἱ δύο Κέρες, οἱ ἐξ Ἀρδὲλ καί αὐτοὶ ἐκ τοῦ δυτικοῦ καταῤῥέοντες καὶ διαπεράσαντες ἐξ ἔω πρὸς δυσμὰς τὸ Γύλα, συμπίπτουσιν ἀλλήλοις καὶ γενόμενοι εἷς, ἐς τὸν Τισσσόν ἐκδιδόασιν· νοτιώτερος δὲ τούτων ὁ Μάρισσος ἐκῤῥέει τοῦ Ἀρδὲλ, πηγάζων ἐν τῷ ἑώῳ τοῦ νομοῦ, οὐ πόῤῥω τῶν πηγῶν τοῦ Ολτου καὶ τοῦ Μπεκάζου, καὶ διαχωρίσας διχῇ πως τὸ Ἀρδὲλ, ἐς νότιόν τε καὶ βόρειον, καὶ ὁρίσας τὸ Γύλα τοῦ Μπανὰτ, συμβάλλει τῷ Τισσῷ· Ζύουλ, ἐκ τοῦ νοτίου τοῦ Ἀρδὲλ κατερχόμενος, καὶ διαπεράσας τὴν χώραν τῆς Κραϊόβης, παρὰ τὴν πόλιν ταύτην ἐκ δυσμῶν παραῤῥέων, ἐς τὸν Ἴστρον ἐξίησιν· Ολτος, ὅς βρέξας τὸ μεσημβρινὸν τοῦ Ἀρδὲλ καὶ τὸν ῥουμουνικὸν ἀγρὸν, ἐς τὸν Ἰστρον ἐκδίδωσι· Μποζέον, ἐκ τῶν ἀνατολικῶν νοτίων καταράσσων τοῦ Ἀρδὲλ, ἐξέρχεται ἐς τὸν Σιρέτην οὐ πόῤῥω τῆς Μπραΐλης· Πoῦτνα, Οϊτοῦζον, Ουζον, Τροτοὺς, Μπεκάζον καὶ Πίστριτζα κα ἕτεροι, ἐκ

τοῦ ἀνατολικοῦ τοῦ Ἀρδὲλ καταῤῥέοντες, καὶ τὰ δυτικὰ τῆς Μολδόβης βρέχοντες, τέλος ἄλλοι διὰ τῆς Πιστρίτζης, ἄλλοι διὰ τοῦ Τροτοὺς, πάντες δὲ καὶ τὸ Τροτοὺς καὶ ἡ Πίστριτζα διὰ τοῦ Σιρέτου, προσφέρουσι τῷ Ἴστρῳ τὰ σφέτερα νάματα.

Ὑποδιαιροῦντες δὲ φυσικῶς πως, ὥς περ τὸ Γύλα, ὁρίοις τοῖς ποταμοῖς χρώμενοι, καὶ τὸ Ἀρδὲλ, καὶ ἐκ τῶν βορείων ἐπὶ τὰ νότια κατιόντες, ἔχομεν τοὺς ἐφεξῆς ὑπονομούς.

Ὁριοσομόσσιος ὑπονομός.

Οὗτός ἐστι τὰ πρὸς βοῤῥᾶν τῶν δύο Σομόσσεων κείμενα μέρη τοῦ Ἀρδὲλ, μέχρι τῶν ὁρίων τοῦ Γύλα. Διακρίνονται δ' ἀλλήλων οἱ δύο Σομόσσεις τῷ μικρὸς καὶ μέγας ἐπίθετα, καὶ ῥέοντες, ὁ μὲν ἐκ τοῦ ἑῴου, ὁ μέγας, τὰς πηγὰς οὐ πόῤῥω τῶν τῆς Νιάγρας καὶ Πιστρίτζης ἔχων, ὁ δὲ ἐκ τοῦ δυτικοῦ, συμβάλλουσιν ἀλλήλοις.

Κράσνα, κωμόπολις ἐν τῷ δυτικῷ, ἐν ἀριστερᾷ τοῦ ὁμωνύμου ποταμοῦ.

*Ναγγυφύλου, κωμόπολις, πρὸς δυσμὰς τῆς ἀνωτέρω.*

*Σιμπὸν, κωμόπολις ἐπὶ τοῦ Σομόσσεως.*

*Ντὲστ, κωμόπολις, μικρὸν κατωτέρω τῆς συμβολῆς τῶν δύο Σομόσσεων ἐν ἀριστερᾷ.*

*Κοβὰρ, καὶ Λεπὸς, κωμοπόλεις ἐν τῷ βορείῳ.*

*Ρόδνα, κωμόπολις ἐν τῷ ἀνατολικοβορείῳ, οὐ πόῤῥω τῶν πηγῶν τῆς Δόρνης, τῆς μολδοβικῆς Πιστρίτζης, καὶ τῶν ὁρίων τῆς ἰστραϊχικῆς Μολδόβης, παρὰ τὸν μέγαν Σόμοσσιν, παρὰ τὴν ἀπὸ Μολδόβης ἐς τὸ βόρειον τοῦ Αρδὲλ διάβασιν.*

### *Εῷος μαρισσοσομόσσιος ὑπονομός.*

*Ουτος ὁρίζεται τοῦ κατωτέρω γραμμῇ ἀπὸ τῆς συμβολῆς τῶν Σομόσσεων ἐς Μάρισσον ἠγμένῃ. Η δοθεῖσα δὲ ἑτέρα στιγμὴ ἤ σημεῖον ἐς προσδιόρισιν, ἔστωσάν σοι αἱ ἀναμεταξὺ τῆς συμβολῆς καὶ τοῦ Μαρίσσου κείμεναι κατὰ μῆκος λίμναι.*

*Μπίστριτζα, πόλις τῶν Σάξων, ἐν τῷ ἀνατολικοβορείῳ τοῦ Κλοὺζ, ἐν δεξιᾷ τοῦ ἐκβάλλοντος ἐξ ἀριστερῶν ἐς τὸν μέγαν Σόμοσσιν, ὁμωνύμου ποταμοῦ. Εκτίσθη ἐν 1206.*

### *Δυτικὸς μαρισοσομόσσιος ὑπονομός.*

*Κλοὺζ, Κολοσβὰρ, Κλαυδιούπολις, Κλαουζενμποὺργ, ὄνσοι ναυτία τὰ τοιαῦτα ἐκ δοξοσοφίας καὶ τύφου καὶ χαμερποῦς φιλαυτίας προερχόμενα; πόλις, μητρόπολις νῦν τοῦ Αρδὲλ, κτισθεῖσα ὑπὸ τῶν σάξων (1178), ἐν εὐμόρφῳ κοιλάδι, παρὰ τὸν μικρὸν Σόμοσσιν, ἐν ἀριστερᾷ, περιτετειχισμένη καὶ πύργοις ἐκδιαλειμμάτων ὠχυρωμένη, ὥς περ καὶ ἕτεραι πόλεις τοῦ Αρδὲλ· οὐδεμία γεμὴν ὀνομαστέα πόλις ὀχυρὰ καὶ ἀμυντήριον, ἀμελουμένης ἤδη παντάπασι τῆς ὀχυρώσεως, ὡς περιττῆς πάντη οὔσης· οὐ γὰρ νῦν, ὥσπερ τὸ πάλαι, φόβος ταταρικῶν καὶ τυρκικῶν ἐπιδρομῶν. Εισὶ δὲ τινες ὧν ἤδη τὰ τείχη*

*σαθροῦσθαι ἤρξαντο, καὶ ὅσον οὔπω ἐρείπια καλεῖσθαι ἄρξονται. Ενταῦθα οἱ ἀντιτριαδισταὶ ἢ μοναδισταὶ μοαγγῖοροι, οἱ ποτὲ τὸ κράτος ἔχοντες ἐν Αρδὲλ, καὶ οἱ κρεῖσσον τῶν λοιπῶν πεπαιδευμένοι, περικαλλῆ ναὸν ἔχουσιν.*

*Αρμενόπολις, κωμόπολις τῶν ἀρμενίων, πρὸς τὸ βόρειον τοῦ Κλοῦζ.*

*Τόρδα, κωμόπολις ἐν τῷ ἀγκῶνι τοῦ Αρανιοῦ ποταμοῦ, πρὸς τὸ ἀνατολικονότιον τοῦ Κλοῦζ.*

*Τζὲκ καὶ Κολὸς, κωμοπόλεις.*

*Πελεγρὰδ, πόλις, φρούριον, ἐν δεξιᾷ τοῦ Μαρίσσου, ἀργυροκοπεῖον, ἐς τὸ βορ. τοῦ Σέμπες, ἐς τὸ νοτ. τοῦ Κλοῦζ, ἐν ἀναπεπταμένῳ τόπῳ, ὑπερκείμενον πεδίων ὡραιοτάτων, συνηρεφέσι ῥάχεσιν ἐστεμμένων.*

*Μπορμπερὲκ, κωμόπολις, ἀντικρὺ τῆς κατωτέρω Βίντζης.*

*Μπάϊὰ, Μπρὰδ, κωμοπόλεις, ἐν τῷ δυτικῷ ἐπὶ τοῦ Κέρες.*

*Αμπρούδ μπάϊα, κωμόπολις, μεταλλεῖα, ἐν τῷ μέσῳ τοῦ ὑπονομοῦ.*

*Σλάτινα, κωμόπολις ἐν χαριεστάτῃ κοιλάδι, ὅπου ποτὲ πλούσια ὑδραργυροχρυσεῖα, γνωστά καὶ τοῖς δακοῖς καὶ τοῖς ῥωμάιοις, καὶ σπουδαζόμενα τότε ἦν μᾶλλον ἢ νῦν, ὡς καὶ λυσιτελέστερα. Οι ῥουμοῦνοι σέβονται τὸν τόπον διὰ τὰς ἀρχαιότητας καὶ τὰ μεταλλεῖα.*

*Τορότζκον, κωμόπολις ἐπὶ ὑψηλώματος, περίφημος διὰ τὰ ἀργυροχρυσεῖα.*

*Τέβις, κωμόπολις παρὰ τὸν Μάρισσον, οὐ πόῤῥω τῆς συμβολῆς τοῦ Κουκούλ.*

### *Ε ῷ ο ς ὀ λ τ ο μ α ρ ί σ σ ι ο ς ὑ π ο ν ο μ ό ς.*

*Μεδιάς, πόλις σαξική, ἐν ἀριστερᾷ τοῦ μεγάλου Κουκοὺλ (τοῦ νοτίου), ἐς τὸ ἀνατολικοβόρειον τοῦ Σιμπίν. Ἐκτίσθη ἐν τῷ* 1146.

*Σιμπισσιόρα, Σασμπούργ, πόλις σαξική, ἐν ἀριστερᾷ τοῦ μεγάλου Κουκοὺλ, πρὸς ἕω τῆς ἀνωτέρω. Ἐκτίσθη ἐν τῷ* 1198.

*Ιδβαρχεϊ κωμόπολις τῶν τζέκλερ, πρὸς ἔω τῆς ἀνωτέρω.*

*Ῥεφ, κωμόπολις σαξική, πρὸς τὸ ἀνατολικονότιον τῆς Σιμπισσιόρας, οὐ πόῤῥω τοῦ Ολτου.*

*Κεσδιβασσαρχεϊ, Κάνδα, κωμοπόλεις πρὸς δύσιν τοῦ κατωτέρω Μπρέτζκου.*

*Κουκουλοβὰρ, κωμόπολις ἐν ἀριστερᾷ τοῦ μικροῦ Κουκοὺλ.*

*Στολτζενμπούργ, κωμόπολις, πρὸς τὸ βόρειον τοῦ Σιμπίν.*

*Δυτικὸς ὀλτομαρίσσιος ὑπονομός.*

*Δόμπρα, κωμόπολις, οὐ πόῤῥω τοῦ Μαρίσσου, ἐν τῷ δυτικῷ τοῦ ὑπονομοῦ, καθ᾽ ὁδὸν ἀπὸ Βιέννης ἐς Αρδὲλ ἐρχομένοις.*

*Δέβα, κωμόπολις οὐ πόῤῥω τοῦ Μαρίσσου, καὶ φρούριον· χαλκομεταλλεῖα παρ᾽ αὐτὴν περὶ τὰς τρεῖς ὥρας ἀφιστάμενα.*

*Χατζὲγ, κωμόπολις ἐπὶ Στρέου ποταμίου, ἐν τῷ μέσῳ τοῦ ὑπονομοῦ.*

*Βάρχελυ πρὸς ἀνατολὰς τῆς σιδηρᾶς πύλης, ἐν δεξιᾷ τοῦ Στρέου, οὐ πόῤῥω*

τῶν πηγῶν, πρὸς τὸ δυτικονότιόν πως τοῦ Χάτζεγ, χωρίον ὅπου ἦν ποτε ἡ Ζαρμιγεθοῦσα ἡ μητρόπολις τῆς Δακίας.

Ορεστία, Σασβαρός, κωμόπολις ἐν χαριεστάτῳ πεδίῳ, ἀνήκουσα τοῖς σάξοις.

Βίντζα, κωμόπολις. Πλὴν τῆς Ορεστίας, πᾶσαι μοαγγυορικαί.

Σέμπες, Μιλμπάχ, κωμόπολις σεσαθρωμένον ἔχουσα τεῖχος, προκειμενη τοῦ Πελεγρὰδ, ἐν πεδίῳ. Εκτίσθη ἐν 1150.

Ραϊτζμάρκ, κωμόπολις ἀναμεταξὺ Σέμπες καὶ Σιμπίν.

Σιμπὶν, πόλις, πρώην μητρόπολις, ἐν χαριεστάτῳ πεδίῳ, περιτετειχισμένη, παρ' ὁμώνυμον ποτάμιον. Εκτίσθη ἐν τῷ 1160.

Σαλτζμποὺργ, κωμόπολις σαξική, πρὸς τὸ δυτικοβόρειον τοῦ Σιμπίν.

## Ολτοόριος ὑπονομὸς.

Ουτος περιέχει τὰ ἀναμεταξὺ τῶν ὁρίων τοῦ Ρουμουνικοῦ ἀγροῦ ἐκ νότου, καὶ τῆς Μολδόβης ἐξ ἕω, καὶ τοῦ Ολτου.

*Φουγγαρὰς, κωμόπολις καὶ φρούριον παρ' αὐτὴν περιτεταφρευμένον, ἐν χαριεστάτῳ πεδίῳ, παρὰ τὸν Ολτον, ἐφ' οὗ ξυλίνη ἀξιοθέατος γέφυρα· ὑπὸ γάρ μίαν μεσοστυλίαν μῆκος ἔχουσαν ὅσον πεντήκοντα βήματα, ἐμὰ μάλιστα, ὁ Ολτος ῥέει· ἔστι δὲ καὶ ἑτέρα μεσοστυλία διὰ τὰς ἐκχειλίσεις. Τὸ Φουγγυρὰς ἦν τὸ πάλαι ἡ μητρόπολις τῆς ἐν τῷ μεσημβρινῷ Αρδὲλ ῥουμουνικῆς ἐπικρατείας.*

*Κετλία, Ρισσιάνον, Μπρασμὰρ, κωμοπόλεις οὐ πόῤῥω τοῦ Μπρασσόβ.*

*Μπρασσὸβ, Κρονστὰτ, πόλις σαξικὴ, περιτετετειχισμένη, ἡ ἐμπορικωτέρα τοῦ Αρδὲλ, ἀναμεταξὺ ῥάχεων συγκεκλεισμένη, ἐξόδους ἔχουσα μόνον δύο, ὧν ἀναμεταξὺ λόφος, ἐφ' οὗ φρούριον ὑπερκείμενον καὶ τῶν εἰσόδων καὶ τῆς πόλεως. Ελεηλατήθη ἐν τῷ* 1519 *ὑπὸ τοῦ Πέτρου ἡγεμόνος τῆς Μολδόβης. Εκτίσθη ἐν τῷ* 1203.

*Μπρέτζκον, κωμόπολις ἀπέχουσα περὶ τὰς εἴκοσι ὥρας τοῦ Μπρασσὸβ, παρὰ τὴν ῥίζαν ῥάχεως, πλησίον τῶν ὁρίων τῆς*

Μολδόβης, ἐς ἣν διάβασις ἐντεῦθεν ὑπερβάντι τὴν ὑπερκειμένην ῥάχιν. Διὰ τοῦ Μπρέτζκου ῥέει τὸ Οϊτοῦζον, ῥύαξ ἐνταῦθα μικρός.

Ημεῖς μὲν εἴπομεν ἐνταῦθα, ὑπονομὸς ὀλτοόριος, ὑπονομὸς ὀλτομαρίσσιος καὶ τὰ ἑξῆς· σὺ δὲ φίλε, εἴσοι ταῦτα συστηματικότητος ὄζει, ἵνα μὴ εἴπωμεν δοξοσοφίας, λέγε, εἰ βούλει, τὰ ἀναμεξὺ τῶν ὁρίων καὶ Τοῦ Ολτου κείμενα· ἐν τοῖς μεταξὺ τοῦ Ολτου καὶ τοῦ Μαρίσσου ἡ δεῖνα κεῖται πόλις, κωμόπολις, μεταλλεῖον, ποταμὸς καὶ τὰ ἑξῆς. Οπωσοῦν ἂν ἐξαγγείλαις τὰ νοούμενα, εὖ προσδιορίζων τὰ λεγόμενα, ἡμῖν πάντη ἀδιάφορα πράξειας.

Εν τῷ 1768 ἠριθμήθησαν ἐν Αρδὲλ κώμια, κῶμαι, κωμοπόλεις, πόλεις, καὶ ἑνὶ λόγῳ, συνοικίαι ἢ κοινότητες, 2351, ὧν αἱ μὲν 1602 ἀνήκουσι τοῖς ἀρδελικοῖς μοαγγυόροις, αἱ δὲ 413, τοῖς Τζέκλερ, αἱ δε 260, τοῖς σάξοις, αἱ δὲ 76, τῷ βασιλικῷ θησαυρῷ.

Πόλεις δ' ἀκούων ἐν Αρδὲλ, μὴ οἴου

ὡς Μπουκουρέστ καὶ Ες, πολυανθρώπους εἶναι τινὰς τούτων, πολλοῦ γε δεῖ. Εν Μπρασσὺβ τυγχάνουσιν ἡμῖν ἔλεγον οἱ ἐκεῖ ὅτι αὕτη εἴη ἡ πολυανθρωποτέρα τῶν ἐν Αρδὲλ πόλεων· εἶχε δὲ καὶ αὕτη κατοίκους οὐδὲ τὸ ἥμισυ τῶν τοῦ Ες. ὥστε κινδυνεύουσιν αἱ δεύτεραι πόλεις τῆς Μολδόβης καὶ τοῦ Ρουμουνικοῦ ἀγροῦ, πολυανθρωπότεραι εἶναι τῶν πρώτων τοῦ Αρδέλ.

Τ Ε Λ Ο Σ.

# Ἐπιλεγόμενα.

Ἦν μὲν οὖν ἂν περιττὸν ἴσως πάντῃ προλέγειν τι εἰσαγωγικὸν τάχα, ὡς εἴθισται, ἐς τὴν ἀνάγνωσιν τῆς Ρουμουνίας, ξένον πάντως καὶ ξένως τοῖς ὁρῶσι καὶ ἀκούουσιν ὑπαντώμενον οὔσης ὄνομα, ἱκανῶν περὶ τούτου ἐν τῷ βιβλίῳ σποράδην εἰρημένων, καὶ τῶν προλεγομένων ἄλλως περιττῶν ὄντων τοῖς τὰ λεγόμενα ἀναγινώσκουσι· περιττῶν δ' ἔτι πάντῃ πάντως καὶ τοῖς μὴ ἀναγινώσκουσιν, ὧν ἡμῖν φροντίς ἐστιν ὅτι ἥκιστα. Ἀλλ' ἐπειδὴ εἴθισται ἤδη, ἀκμὴν καὶ τρόπον τινὰ, νενόμισται ὁρᾷν τι πρὸ τῶν λεγομένων, καὶ κολοβόν πως τὸ σῶμα δοκεῖ, ταυτησὶ τῆς περιττῆς περιττότητος ἄνευ, φαινόμενον, ἐπειρήσθω καὶ ἡμῖν τὰ τῷ νῷ ἤδη παριστάμενα, οὐχ ὡς προλεγόμενα, ἀλλ' ὡς ἐπιλεγόμενα.

Ειπωμέν τι πρὸς τὰ ἀναγνωσθέντα ἀναφερόμενον; ἀλλὰ περιττολογεῖν καὶ βαττολογεῖν ἐστιν ἄντικρυς, καὶ ὄχλος εἶναι τοῖς νουνεχέσι καὶ φίλοις ἀναγνώσταις, ὧν ἡμῖν φροντίς ἐστιν ὅτι μάλιστα, οὐ βουλησόμεθα. Ειπωμεν καὶ περὶ τοῦ ξένου παντάπασι δόξαντος εἶναι τισὶ φιλοῦσι μᾶλλον τὰ παλαιὰ, ὁποῖα ποτ' ἂν ᾖ, μόνον εἰ παλαιὰ εἶεν, καὶ παλαιομανίαν οὕτως ἁπλῶς νοσοῦσι, δέον τὸν ὀρθὸν λόγον πρὸ πάντων σέβεσθαι, καὶ τούτῳ μόνον πάντα σταθμεύειν καὶ αὐτῷ ἕπεσθαι, ὅτι δηλαδὴ διὰ τί Δαΰτζλὰνδ, καὶ οὐ Γερμανίαν εἴπομεν, καὶ Πόλσκαν, ἀλλ' οὐ Πολωνίαν, καὶ Μοαγγυορίαν, ἀλλ' οὐ Παιονίαν, ἢ Ουγγαρίαν, καὶ τ; Παλλιλογία ἤδη προφανὴς καὶ ἀηδία κἀνταῦθα ἀποκρίνασθαι, πολλὰ σποράδην ἐν τῷ βιβλίῳ περὶ τούτου εἰρηκότας, κρίναντας κἀνταῦθα ἀναγκαῖον, διὰ τοὺς ἐκτεθέντας λόγους, ἀπιέναι μὲν τὴν παλαιὰν, ἔρχεσθαι δὲ τὴν νέαν Μοῦσαν, ὥς περ οἱ παλαιοὶ ἔλεγον. Ει δὲ μὴ καθόλου τὰ νέα τῶν πα-

λαιῶν, καὶ τὰ ἐπιχώρια τῶν ἀλλοτρίων, ὡς ἔδει, εἱλόμεθα· ἄγνοια τὸ πρᾶγμα, ἀλλ' οὐκ ἀστατοῦσα τοῦ δόξαντος ὑπόληψις, οὐδὲ μὴν ταλαντευομένη ἀπόφανσις.

Ειπωμέν τι ἀφορῶν τὴν τοῦ πονήματος γλωσσικὴν σύνθεσιν, ἤγουν διὰ τί κατὰ τὴν λεγομένην παλαιὰν ἑλληνικὴν γλῶσσαν, ἀλλ' οὐχὶ κατὰ τὴν κοινῶς νῦν ἐν χρήσει, συντέθειται; Τοῦτο οὐ σκοποῦ ἄτερ ἡμῖν ἐγένετο· καὶ ἐκθεῖναι τὸν λόγον ἐνταῦθα, μακρολογίαν μάλιστα ἀποφεύγοντας, οὐδὲ καιρὸς, οὐδὲ προαίρεσις, οὐδ' ὅλως θέλησις· οἵ τε νοῦν ἔχοντες ἔπειτα, συνιέναι τούτου, καὶ μηδὲν ἡμῶν λεγόντων, ἀφ' ἑαυτῶν ἔχουσι, καὶ ὀχληροὶ δοκοῦντες τούτοις, οἷς μόνοις ἀρέσκειν ἐφιέμεθα, οὐκ ἀκόλουθα ἑαυτοῖς πράξομεν. Ειδέ τινες συντιθέναι κατὰ τὴν παλαιὰν ἀδυνατοῦντες, καὶ ἑπομένως ἀγνοοῦντες πως ταύτην, ἣν ἐξηκριβωκέναι φαντάζονται, ἐς τὸ περιττὸν τάχα καὶ μάταιον ταύτην γράφειν κοινολογεῖν καταφεύγουσι· γράφειν τε καὶ τὴν οὐχ ἧττον δυσχερῆ, τὴν

νῦν ἐν χρήσει μὴ δυνάμενοι· (οὐ λέγομεν νέαν· καὶ γὰρ καὶ αὕτη ἀδοξοσόφως, ὅ ἐστι φιλοσοφικῶς, ἤγουν ἀπροκαταλήπτως καὶ νουνεχῶς θεωρουμένη καὶ σὺν λόγῳ ἐξεταζομένη, ἑτεροῖόν τι εἶναι δόξει πάντως ἢ κοινῶς φαίνεται, καὶ οἱ βάρβαρον ταύτην ὀνομάζοντες, μὰ τὴν ἱερὰν ἀλήθειαν, ἥκιστα πέπνυνται καὶ σκιαὶ τῷ ὄντι εἰσὶν ἀΐσσουσαι·) γράφειν ὅμως ἀναγκαζόμενοι, ἀτόποις καὶ γελοίοις παραλογισμοῖς, καὶ γελοιοτέραις ἐνέδωκαν κρίσεσι, τοῦ συλλογίζεσθαι ὀρθῶς καὶ τοῦ κρίνειν παρεκτραπέντες παντάπασι, τοῦ τί ἐστι γλῶσσα ξένας πάντη καὶ ἀλλοκότους ἐννοίας ἔχοντες· καὶ τὴν νῦν ἐν χρήσει, δέον ἀκριβῶς καὶ εὐλαβῶς πως, ὡς ἔχει φύσεως, παρατηρεῖν, καὶ εὐλαβέστερον ταύτην σέβεσθαι, τὴν κοινήν γε δυσωπουμένους συνήθειαν, τὴν τῶν ἐμπειρικῶν γλωσσῶν κανόνα μόνην τυγχάνουσαν, αὐτοκρατορικῇ πως ἐξουσίᾳ, ἣν ἄνοια μόνον ἢ κερδαλεόφρων δολιότης δίδωσι, συγχωροῦσα αὐτοῖς καὶ συμφάσκουσα, μετακινεῖν καὶ παρα-

φθείρειν ἔγνωσαν, ἰδικὸν καὶ ἐμπορῶ καὶ κἂν ποιὸς, καὶ τὴν λοιπὴν ναυτίαν δυσόσμως πάντη ἀπερευγόμενοι, φροντὶς ἡμῖν οὐδὲ μικρὰ τούτων· οὔμενουν οὐδὲ τῶν ἀνοήτων ἢ δολίων τῶν ἀνοήτως μάλα ἢ δολίως ἐκθειαζόντων καὶ μιμουμένων, ὥς περ γελοῖοι πίθηκοι, τὰ ἀσυλλόγιστα καὶ γελοιότερα ἐκείνων παραλαλήματα. Μελέτω τούτων τοῖς τούτοις συμμωραίνουσι, καὶ ἀναιδῶς τὰ τούτων διὰ χυδαϊκὴν καὶ ἀηδῆ καὶ ἀκαριαίαν ὀχλικὴν ὑπόληψιν ἐκθειάζουσι.

Ειπωμέν τι πρὸς τὰ κομποῤῥημόνως καὶ περπέρως καὶ χυδαίως μάλα θρυλλούμενα σχολαστήρια ἀποβλέποντες; Ἀλλὰ καὶ τοῦτο ἤδη ἀηδία αὐτόχρημα γέγονε, διὰ τὰς καταχρήσεις ῥωποδιδασκάλων τινῶν, οἵπερ ταῖς μακραῖς, μάλα μακρόθεν, καὶ ὀργυιαίαις καὶ σταδιαίαις αὐτῶν συμβουλαῖς καὶ προτροπαῖς, πλήρεσιν ἀηδίας, μεσταῖς ναυτίας, ἀποπεπνευκυίαις πάντη, ὡς τάχα μόνων ὄντων τῆς Ελλάδος φωτιστικὸς λύχνος ὑπόλοιπος, (ἄθλιοι πολέως

*ὑμέων ἡ Ἑλλὰς ἔχει κάῤῥωνας), καὶ εἰ μὴ τάχα αὐτοὶ εὐμενῶς ἐς τὴν Ἑλλάδα ἐπιβλέψειαν ἐκ τοῦ φανταστοῦ αὐτῶν θρόνου, οἰχήσεται καὶ ἀπολεῖται τὰ τῆς Ἑλλάδος· καὶ εἰ μὴ αἱ μοῦσαι αἱ ὑπὸ Παρνασσόν που ἢ Ἑλικῶνα κείμεναι, ταῖς στεντορίαις αὐτῶν φωναῖς καὶ γεγωνήσεσιν ἀνασταίησαν, οὐδέ ποτ' ἂν ἀνασταῖεν, καὶ ἄμουσος ἡμῖν ἡ Ἑλλὰς καταμενεῖ· τούτοις λέγω καὶ τοῦτο γελοῖον ἀποκαθέσταται, ὥς πέρ ποτε καὶ νόμος Ἀθήνησι παρῶπται πάντη καὶ ἐγκαταλέλειπται διὰ παρομοίαν κατάχρησιν. Παύσασθε, ὦ γεννάδαι, τηλόθεν πάνυ εἰσηγήσεις καὶ παρορμήσεις, μάλα ἀηδῶς καὶ ἀδιακρίτως ἐπιδαψιλευόμενοι, καὶ προδιδόναι οὕτω τὴν Ἑλλάδα γνῶτε βουλόμενοι, καὶ ὅτι τὰς ἀκαίρους ταύτας καὶ ἀδιακρίτους προτροπὰς μόνοι οἱ ἐπίβουλοι τῆς Ἑλλάδος ἐρυγγάνουσι. Παύσασθε χυδαϊκὴν καὶ ἀνόητον ὑπόληψιν καὶ ὄνομα θηρᾶσθαι πειρώμενοι. Ου λόγων χρήζει ἡ Ἑλλὰς, ἀλλ' ἔργων. Ταυτησὶ τῆς ἀληθείας συνῆκαν μόνοι οἱ ἀοίδιμοι Μακά-*

ριοι καὶ Μπαλάνοι καὶ Μελέτιοι, καὶ ὅσοι τούτων μιμηταὶ ἐγένοντο, καὶ τὸ ἐπ' αὐτοῖς ἀνέστησαν αἱ μοῦσαι ἐν τῇ Ελλάδι· τούς τε ἕλληνας σωφρονοῦντας, τούτους μόνον καὶ τοὺς μιμητὰς τούτων, ὡς ὑπὲρ τῆς πατρίδος πολλὰ πονήσαντας, καὶ δοξοθηρικῆς κομποῤῥημοσύνης ἑλομένους ἔργῳ προτρέπειν, καματηρὰς διδασκαλίας τῇ Ελλάδι ἀναδεχομένους καὶ ἀνέχοντας· τούτους μόνον δεῖ ἐκθειάζειν καὶ τοὺς μιμητὰς τούτων, καὶ μετὰ σέβατος μνείαν ποιεῖσθαι, προτρέποντας καὶ ἑτέρους τῶν τῷ ὄντι τῆς Ελλάδος εὐεργετῶν ἐς μίμησιν. Σωφρονοῦσι γοῦν, νὴ τὴν ἱερὰν ἀλήθειαν, πάνυ ὀλίγον, μᾶλλον δὲ, οὐδ' ὀλίγιστον, ὅσοι ἄλλοις, δίκην πελαργῶν, περιπλανωμένοις ἐν ἀλλοτρίοις, ἢ ἐκεῖ που διὰ βίου καταμένειν προειλομένοις, τοῦ σφίσι μόνον καὶ μόνου συμφέροντος φροντίζουσι, τοὺς τῆς φιλογενείας ἐπαίνους ἐπιδαψιλευόμενοι, οἵ περ μόνοις κατὰ πρῶτον καὶ ἔσχατον λόγον ὀφείλονται τοῖς τὴν τῆς ἑλληνικῆς νεολαίας διδασκαλίαν ἐν ἐπιγνώσει

καὶ εἰλικρινῶς ἀναδεξαμένοις, ὅ ἐστιν, οἱ διὰ χρηματισμὸν, οὐ διὰ δοξοθηρίαν χυδαϊκαῖς καὶ παραλόγοις προλήψεσι καὶ ὑπολήψεσιν ἑπομένοις, ἀλλὰ πρὸ ἑαυτῶν πρωτευόντως καὶ νουνεχῶς καὶ φρονίμως καὶ γενναίως σκοπούμενον τὴν ἐς τὰ κρείττω πρόοδον καὶ ἐπίδοσιν τῶν ὁμογενῶν ἔχουσι καὶ μηδόλος σκαρδαμύττουσι. Διδασκάλων εἰλικρινῶν καὶ ἀκαμάντων χρήζει νῦν ἡ Ἑλλὰς, ὧν ἡ ἐπίδοσις τῶν νέων μόνον σκοπούμενον, ἀλλ' οὐ κροτοθορύβων, ἐς οὓς κεχήνασιν οἱ ῥωποδιδασκαλικαῖς προτροπαῖς ἐπτοημένοι, καὶ τοὺς ῥωποδιδασκάλους ἐμετικὴν ὀξυρεγμίαν πνέοντας ἐκθειάζοντας.

Εἴπωμεν καὶ ἡμεῖς πῶς δεῖ διδάσκειν; Δεῖ Μακάριον καὶ Μπαλάνον καὶ κωφὸν Ἰωάννην μιμεῖσθαι. Ἰδοὺ τὸ πᾶν εἴρηται δι' ὀλίγου παντάπασι, καὶ περιττὰ, ἀκμὴν καὶ μᾶλλόν τι περιττότητος τὰ ἐπίλοιπα. Εἴπωμεν ὅτι δεῖ οἰκοδομοῦντας, μὴ ἀπὸ τῆς στέγης ἄρχεσθαι, ὡς πανταχόθεν τάχα φαινομένης, καὶ ταῖς τοῦ πολλοῦ

ἀνθρώπου ὄψεσιν ἄντικρυς προσβαλλούσης, ὡς ἡμῖν οἱ χρυσοδοξοθῆραι ῥωπομαθηταὶ ποιοῦσι, βάσεως πάντη δι᾽ ἄνοιαν ἢ δολιότητα, ἀφροντιστοῦντες καὶ σπείροντες κατ᾽ ἀνηρότου γῆς, τοῦ εὖ εἰδέναι στερούμενοι, ἢ δόλῳ καὶ ἀπάτῃ κινούμενοι; Πολλοὶ καὶ τοῦτο ἐν τῇ Ἑλλάδι καταδικάζουσι· καὶ λέγοντές τι περί γε τούτου, ἀνδρὶ οἰηματίᾳ πράξειν ὅμοια δόξομεν. Εἰπωμέν τι καὶ περὶ τῶν ὅσοι ῥαδίως ἄγαν ἐπὶ τὴν μετάφρασιν, ἢ, τὸ χεῖρον, ἐπὶ τὴν σύνθεσιν καὶ συγγραφὴν ἄττουσι καὶ φυσῶσιν, ἅμ᾽ ἐξερχόμενοι τῶν σχολείων; Συγγνωστέοι μὲν οἱ τοιοῦτοι δι᾽ ἀσθένειαν νοὸς καὶ στέρησιν λογικῆς, τὴν ἐνδομυχοῦσαν καὶ λάβρως βράζουσαν δοξοθηρίαν, ζῆλον δημωφελείας παρεκλαμβάνοντες· καταδικαστέοι δ᾽ ἄλλως, ὡς τοὺς μαθητὰς οὕτω τοῖς συγκεχυμένοις αὐτῶν συνθέμασι διαφθείροντες καὶ ἐς ἀποστροφὴν μαθήσεως διεγείροντες, ἢ ἀπελπίζεσθαι ποιοῦντες, ἐκθετικὴν σύγχυσιν, ἀφυΐαν ἑαυτῶν ἐς μάθησιν αὐταπατη-

λῶς ἐκλαμβάνοντας· ἔδειγὰρ αὐτοὺς, πο[λ]λάκις ἑτέρους διδάξαι, ἃ αὐτοὶ δεδιδά[χ]χατο, εἶτ᾽ εὐλαβῶς ἐπὶ τὴν σύνθεσι[ν] μᾶλλον δὲ ἐπὶ τὴν ῥᾴω καὶ εὐαντιληπτο[τ]τέραν τῶν διδασκομένων ἔκθεσιν καὶ πα[ρ]ράστασιν ἀποδύεσθαι, πολυχρονίῳ πείρ[ᾳ] μεμαθηκότας πρότερον· καὶ γὰρ καὶ γραμ[μ]ματικὴν πότ᾽ ἄντις συντιθείη κρείσσ[ω] καὶ λυσιτελεστέραν τοῖς νέοις; πάντω[ς] οὐχ ἅμα πεπαυμένος γραμματικὰ μαν[-]θάνειν, ἀλλὰ χρόνῳ ὕστερον δεδιδαχὼ[ς] ταῦτα τοῖς ἄλλοις πρότερον, καὶ πείρ[ᾳ] ἤδη μεμαθηκὼς διαγινώσκειν καὶ γινώσ-κειν τὸ βέλτιον. Ισασι καὶ τοῦτο ἐν τ[ῇ] Ελλάδι καὶ οἱ ἄκροις χείλεσι, τὸ τοῦ λό-γου, λόγων γευσάμενοι.

Εἰπωμέν τι καὶ περὶ τῶν τὰ πάντα ἐπίστασθαι ὑποληφθῆναι κούφως μάλα ἢ δολίως βουλομένων, καὶ παντοίῳ εἴδει συγγραφῆς, καὶ τὸ χεῖρον, ἅμα παυόντων μανθάνειν, αὐθαδῶς μάλα ἐγχειρούντων, καὶ μηδὲ μεταφράζειν ἀξιούντων, ὡς τάχα κρεῖτόν τι ἢ μετάφρασιν ποιεῖν δυναμέ-

*νων, καὶ ὑπέρτεροί τινες ἢ μεταφρασταὶ εἶναι δοκεῖν θελόντων; Οικτροὶ καὶ οὗτοι, ἀγνοοῦντες παντάπασι τὸ ποιητέον, καὶ ἀναγνῶναι, κἂν ἅπαξ, τὸν ὑπὲρ τῆς πύλης τοῦ ναοῦ τοῦ Απόλλωνος, βραχύτατον μὲν, ὡς τετρασύλλαβον, μέγαν δὲ καὶ πολυνούστατον λόγον, μηδέποτε ἐθελήσαντες, ἀλλ' ἀπὸ ἐπιστήμης ἐς ἐπιστήμην, ὥσπερ σκιαὶ ἀΐσσουσαι, κούφως παντάπασιν μεταπηδῶντες, βάρος οὐδ' ὀλίγιστον ἔχοντες, καὶ νῦν μὲν φυσικὴν, νῦν δὲ μεταφυσικὴν, ἄλλοτε δὲ μαθηματικὰ, ἱστορίαν, γεωγραφίαν καὶτ. ξυγγράφειν εἰσὶ προχειρότατοι, καίπερ μηδενὶ τῶν ξυγγραφησομένων ἰδιαιτέρᾳ καὶ οἰκείᾳ ἐνασχολήσει καὶ μελέτῃ καὶ ἐπιστάσει καὶ παραδόσει ἐμμεμενηκότες πρότερον, σοφισταὶ κομποῤῥήμονες τυγχάνοντες. Οικτροὶ καὶ οὗτοι τὴν τετρασύλλαβον ἐντολὴν μὴ μαθόντες, καί τοι περὶ πολλὰ ἐσπουδακέναι λέγοντες, καὶ πολλὰ ξυγράφειν ἐπαγγελλόμενοι, ἧς ἄτερ καὶ πολλὰ εἰδώς τις, οὐδὲν ἐπίσταται, καὶ ὄλεθρος*

τυγχάνει σαφέστατα. Ηδη γοῦν καὶ οὕτο καταδικάζονται ἐν τῇ Ελλάδι καὶ κομποῤῥημονοῦντες ἐλέγχονται. Ειπωμέν τι κα περὶ τοῦ τελειοτέρου λεξικοῦ, οὗ στερού μεθα, ὅτι δηλονότι τοιοῦτο λεξικὸν, πρὶ λεξικὸν τῆς ἐν χρήσει νῦν γλώττης, τῆ ἀδελφῆς ἢ διαλέκτου τῆς ἑτέρας, ἀκριβὲ ὅσον οἷόντε, γενέσθαι καὶ ἀδοξύσοφον ἄλλως ἡ φιλομαθὴς ἑλληνικὴ νεολαία, κα πολλοὶ ἑτερογενεῖς σοφοὶ οὐχ ἕξουσι· πολλαὶ γὰρ λέξεις γνωσταὶ τοῖς πολλοῖς ἔν-τισι μέρεσι, λανθάνουσι τοὺς λεξικοποιοὺ ἀνθ' ἑτέρων παρεκλαμβανόμεναι, καὶ τοιαύτας παρεξηγήσεις ἀσυγγνώστους παντάπασιν, εἴδομεν· καὶ ὅτι ἀπὸ τῶν γνωστῶν ἐπὶ τὰ ἄγνωστα προβαίνειν ἀνάγκη πᾶσα, εἴτε διδασκόμενόν τινα, εἴτε διδάσκοντα, μηδὲν λέγοντα, ἐς ὃ ὁ μαθητῆς ἀνετοίμαστος; Οιδασι κάλλιον ἡμῶν καὶ τοῦτο ἐν τῇ Ελλάδι, καὶ παρ' ἡμῶν τῶν πόῤῥω διατριβόντων μαθεῖν οὐ δέονται· καὶ δοξοθηρᾶν ἀνοήτως ἐστὶ συμβουλεύειν παραπλήσια.

Εἴπωμέν τι καὶ περὶ τῶν ἐκδοθέντων καὶ ἐκδιδομένων βιβλίων, τῶν δωρεὰν μὲν τυποῦσθαι τῇ ἑλληνικῇ νεολαίᾳ λεγομένων, ῥυπαρῶς δέ μάλα καὶ παλιγκαπηλικῶς, τὸ δὴ λεγόμενον, πιπρασκομένων; Ἤδη πολλῶν πεπύσμεθα προσανακλαιομένων καὶ καταμεμφομένων τοῖς ἐκδοῦσι μὲν, μὴ συνιεῖσι δὲ παντάπασιν ὧν χρήζει ἡ ἑλληνικὴ νεολαία, τυφλῶς, τὸ τοῦ λόγου, πρὸς τὸν σκοπὸν βάλλουσιν, ἄλλ᾽ ἀντ᾽ ἄλλων δι᾽ εὐήθειαν καὶ ἀσυνεσίαν πράττουσι. Δυσέυρετα μὲν καὶ παιδευτικὰ λιβλία, ἃ κοινὰ ἔδει ἐν τῇ Ἑλλάδι εἶναι, καὶ ὑπὸ τῶν ὁμογενῶν ἐκδιδόμενα, ὑπολήψεως καὶ τιμῆς ἐκ τῶν ἀλλογενῶν τῷ ἔθνει πρόξενα εἴησαν, παραβλέπουσι, καὶ τὸν ἀΐδιμον Μελέτιον βαλόντα μάλα πρὸς σκοπὸν, μιμεῖσθαι οἱ γεννάδαι, ὡς τάχα συνετώτεροι αὐτοὶ, ἐκ παντελοῦς ἀξυνεσίας οὐκ ἠβουλήθησαν, καὶ βάλλοντες τυφλῶς, ἠστόχησαν καὶ ἥμαρτον δημοσίως, καὶ πολὺν παρὰ τοῖς νουνεχέσι καὶ γνώμοσι διεγείρουσι γέλωτα, ἢ ἀγα-

νάκτησιν· εὑέρετα δὲ καὶ μὴ παιδευτικὰ πολλοῦ λόγου καὶ πολλῆς σπουδῆς ὑπ' αὐτῶν διαγνωστικοῦ παντάπασι ἐστερημένων, ἀξιοῦνται. Ουμενουν, οὐδ' αὐτοὶ, οὐ δὲ πρὸ αὐτῶν ἕτεροι πρὸς τὸν σκοπὸν ἔβαλον, πόῤῥωθεν ἄγαν βάλλοντες, οὓς ἔδει εἴτι φιλογενείας αὐτοῖς ἐνῆν, μιμουμένους Μακάριον καὶ Μπαλάνων ἐν τῇ Ελλάδι που καταμένειν, τὴν διδασκαλίαν τῆς ἑλληνικῆς νεολαίας πρὸ παντός τιθεμένους· ἀλλὰ μὴ χαίρειν λέγειν ταύτῃ, τὴν πατρίδα καταλιμπάνοντας. Τούτους καὶ τοὺς τοιούτους τοὺς ἀγανακτήσεως καὶ ἀποστροφῆς ἀξίους, σωφρονοῦσα ἡ Ελλὰς οὐκ ἄν ποτε λόγου καὶ μνείας ἀξιώσειε, σχολῇ γε ἂν καὶ ἐκθειάσειε, προδόντας τρόπον τινὰ αὐτὴν καὶ κακίστους πολίτας γενομένους. Ετι λατινικοῦ λεξικοῦ στερόμεθα, καὶ ἡ Βυζαντὶς ἡμῖν σπανιωτάτη, ἣν ἔδει γε ὑπὸ τούτων, καὶ πρὸ πολλοῦ ὑφ' ἑτέρων, τοὺς πονήσαντας πολίτας αὐτῶν δυσωπουμένων, ἐκδοθῆναι, εἴτις λόγος τῶν λόγων

αὐτοῖς ἐτύγχανεν, ὥστε κοινὴν εἶναι καὶ κοινῇ τοῖς σχολείοις καὶ ἰδίᾳ τοῖς φιλολόγοις. Ἀλλὰ τί λέγω; καὶ ὁ προχθὲς ἀκμάσας πολύγλωττος καὶ πεπαιδευμένος Βατάτζης, ὁ πολλῶν ἄστεα καὶ νόον γνοὺς, μάλιστα κατὰ τὴν Ἀσίαν, ἐν σκότει που ἔτι κείμενος, ἀναξίως καὶ μισολόγως ὑπ᾽ αὐτῶν παραβλέπεται· καὶ πρὸ πολλοῦ ἐκδίδοσθαι ἄξιος, ἔτι μένει ἀνέκδοτος. Ἐῶ λέγειν Εὐκλείδην, Ἀπολλώνιον, Ἀρχιμήδη, Στράβωνα, Ἀριστοτέλη, Πλάτωνα, Πτολεμαῖον, Ἱπποκράτη, Θεόφραστον καὶ τοὺς λοιποὺς πρωτοδιδασκάλους τοῦ ἀνθρωπίνου γένους. Ὦ Ἑλλάς! πότε σοι, εὐμενῶς τοῦ θείου ἐπιβλέψαντος, Νιλεῖς γενήσονται; Ἕξεις τηνικαῦτα καὶ σοφὰς ἑτερείας, οἵας σοι ὁ καιρὸς ἐπιτρέπει, καὶ τὰς ἀναγκαίας τοῖς σχολείοις βιβλιοθήκας, καὶ αἱ μοῦσαι τοῖς σκηψίοις σκηπτόμεναι, ἀναστήσονται καὶ λάμψουσι πάλιν ἐν τῇ παλαιᾷ αὐτῶν καὶ φίλῃ πατρίδι. Ἒ, ἔ. φίλοι, σὺν λόγῳ καὶ μάλα δικαίως προσαγακλαιόμενοι, οὐδεὶς σκήψιος, δώῃ τὸ θεῖ-

ον! εἴησαν ὅτι τάχιστα! νῦν γὰρ κομποῤῥημοσύνης καὶ καταδικαστέας ἀφροντισίας πλέον οὐδέν.

Ειδὲ καὶ καταβάντες, ἐπιτρέχοντες τὸν τῆς ἱστορίας χρόνον, ἀπὸ τοῦ Σεζώστρεως μέχρι τῶν πρώτων χρόνων τῶν ἀπότε τοῦ παρολτίου Φουγγαρὰς καὶ τοῦ παρατισσίου Μαραμὺς, διὰ κατακτήσεως ἐς τὰ μεσημβρινώτερα τῆς Ρουμουνίας, μετατεθεισῶν καὶ κατασταθεισῶν ἀρχηγεμονιῶν, ἐνταῦθα ἔστημεν, τοῦ καιροῦ πολλὰ παθοῦσιν ἡμῖν μὴ ἐπιτρέψαντος, στῆναι καὶ μὴ βουλόμενοι κατηναγκάσθημεν, νὴ δία, καὶ ἄλλως, δι᾽ ἑαυτῶν ἐργάζεσθαι, μηδεμίαν ἄλλοθεν, δι᾽ ὑπερβολὴν ψυχρότητος καὶ ἀναλγησίας καὶ ὅλως ἀπαθείας, συναντίληψιν δρῶντες, παντάπασιν ἀπηυδήσαμεν. Δι᾽ αὐτὰ ταῦτα, καὶ πλείω, μᾶλλον δὲ, τὰ πάντα, ὅσον ἐνῆν, τὰ τὸ γεωγραφικὸν τῆς χώρας ἀφορῶντα εἰπεῖν γλιχόμενοι, τοῖς ὀλίγοις, ὀλίγων αὐτόπται γενόμενοι, ἀπειρηκότες πάντη, ἠρκέσθημεν. Αρκέσθητι τοίνυν καὶ αὐτὸς, φίλε ἀναγνῶστα,

καὶ τὰ ὀλίγα δι' ἀπορίαν εἰρημένα, ὡς κέντρον οἱονεὶ ἐκλάμβανε, καὶ ἐς τὸ εἰπεῖν ἑτέρους πλείω διεγερτήριον. Ειρηκόσι ταῦτα, ἀγανακτοῦσι μάλα καὶ ποτνιωμένοις καὶ σχετλιάζουσιν, οὐδὲν ἔτι μένει λέγειν, ἀλλ' ἢ συγγνώμην τοὺς πολίτας αἰτεῖν, τὸ ὀφειλόμενον χρέος τῇ πατρίδι μὴ ἀποδόντας, περιστάσεσιν ἀπροσδοκήτοις καὶ ἀδιαφορίᾳ τινῶν καὶ πλείονι τινι ἀδιαφορίας, Μακάριον καὶ Μπαλάνον καὶ κωφὸν Ιωάννην κωλυθέντας μιμήσασθαι.

Ἐῤῥωσθε φίλοι ἀναγνῶσται.

Ὁ Φιλιππίδης.

*Τὰ μνημονευόμενα τῆς ἤδη πρὸ ἑπτὰ ἐνιαυτῶν ἀναγνωσθείσης ἡμῖν ἱστορίας τοῦ σιαχ Ναδὶρ, συντεθείσης παρὰ τοῦ Βατάτζη βυζαντίου.*

---

Εν κώμῃ τινὶ τοῦ μεγάλου καὶ καλλίστου νομοῦ τῆς Περσίας Χορασὰν, τῆς πάλαι Βακτριανῆς, ὅπου τὸ θέρετρον τῶν βασιλέων τῆς Περσίας ἐτύγχανεν, ἦν τις ἀποχειροβίωτος κάτοικος, μικρὰ πάντη πράττων, καὶ λιτῶς καὶ πενιχρῶς τὰ πρὸς τὸ ζῆν αὑτῷ τε καὶ τῇ πατριᾷ αὐτοῦ ποριζόμενος· σισυροποιὸς γὰρ τοῖς συγκωμήταις αὐτοῦ ἐτύγχανε. Τούτου γοῦν τοῦ μικρὰ παντάπασι πράττοντος κωμήτου υἱὸς ἦν ὁ τὰ μέγιστα πράξας ὕστερον σιὰχ Ναδίρ. Αποθανὼν οὖν ὁ σισυροποιὸς,

κατέλιπε τὴν πατριὰν αὐτοῦ πτωχεύουσι πάντη καὶ πάντων ἐν ἀπορίᾳ· οὐδενὶ γὰ ἄλλῳ ἢ ὀναρίῳ τινὶ ἡ οὐσία τοῦ πτωχι σισυροποιοῦ συνίστατο, ᾧ χρωμένη χήρα ἡ μήτηρ τοῦ κουλῆ Ναδὶρ, ἤγοι παιδὸς Ναδίρ· τοῦτο γάρ τηνικαῦτα ἦ τῷ σιὰχ Ναδὶρ ὄνομα· φρύγανα καὶ ξι λάρια ἐς τὴν πλησιόχωρον κωμόπολιν πόλιν ἐκομίζετο· μόνου γὰρ πόρου δι ἐσχάτην πενίαν αὐτῇ ὑπολοίπου τούτο τυγχάνοντος, πορίζεσθαι ἄλλως τὸν λιτὸ βίον ἑαυτῇ καὶ τοῖς ἀνήλιξι τεκνίοις αὐτῇ ἠπόρει παντάπασι. Κομιζομένη δὲ τῇ πτωχῇ κωμήτιδι εἰς πρᾶσιν τὸ εὐτελέστατον φορτίον, συνώδευεν αὐτῇ καὶ ὁ παῖς Ναδὶρ, πάντως ῥακενδύτης, γυμνόπους γυμνοκέφαλος, ὁ μετὰ ταῦτα τοσούτοι ὄλβου, τοσούτων χρυσίων, τοσούτων πολυτίμων λίθων ἐγκρατὴς γενόμενος, ὅσα οὐδεὶς τῶν πώποτε κατακτητόρων ἐν τοῖς θησαυροῖς αὐτοῦ ἐναποτεταμίευτο.

(Οὐδ' ὅσα γε λάϊνος οὐδὸς ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ.)

*Τηνικαῦτα Ουσμπέκοι Τάταροι ἐκ τῆς Μπουχαρίας τῆς πάλαι Σογδιανῆς, ἐς τὸ Χορασάν ἐχθρικῶς ἐσέβαλον, τὴν χώραν λεηλατήσοντες, καὶ ὁ παῖς Ναδὶρ λαφυραγώγημα τούτοις καὶ αὐτὸς γίνεται, καὶ ἀπάγεται ὑπ᾽ αὐτῶν ὅποι καὶ ὅπως αὐτοὶ ἐβούλοντο, πάντως παρὰ τὰ σφέτερα. Χρόνῳ δὲ πολλῷ μετὰ ταῦτα, νεανίας ἤδη τυγχάνων ἔφηβος, καταλιπὼν τὰ τῶν οὐσμπέκων, λεληθότως πάντως, ἐς τὴν οἰκείαν ἀφίκετο. Συνὼν δὲ καὶ συμπεριφερόμενος τοῖς οὐσμπέκοις, τὸν ληστρικὸν μετιοῦσι βίον, καὶ αὐτὸς ἤδη κατὰ μικρὸν εἴθιστο τοῖς ἐκείνων, καὶ ὁ ληστρικὸς βίος ἔλαθεν αὐτὸν ἕξις κατ᾽ ὀλίγον γενόμενος αὐτῷ δυσαπόβλητος· οἷς γὰρ ὁσημέραι συναναστρεφόμεθα, λανθάνομεν, ὡς τὰ πολλὰ, ὅμοιοι κατὰ μικρὸν ἐκείνοις γινόμενοι. Επανακάμψας οὖν ἐς τὴν ἐνεγκαμένην, τὸν βίον τῶν οὐσμπέκων, οὓς καταλελοίπει, ἔγνω μετέρχεσθαι· καὶ δι᾽ εὐφυΐαν καὶ σύνεσιν, οὐ τρίτα, οὐ δεύτερα, ἀλλὰ πρῶτα ἔπραττεν,*

ὑποληστὰς ἢ συλληστὰς ἀνακτησάμενος τάχιστα, καὶ εὐτυχῶν ληϊζόμενος, ἐκ μικρὰ τὸ πρῶτον πράττοντος ἀνδρὸς, ἐς τὸ μεγάλα πράττειν ἀφίκετο, πολλοὺς κατὰ μικρὸν ὑφ' ἑαυτὸν ὑπαγαγόμενος.

Εν ἐκείνοις τοῖς χρόνοις τῶν αὐγανῶν, ἔθνους ἑώου τῆς Περσίας τὰ δεξιὰ ἄνω παρίνδια νεμομένου, καὶ ὁμοθρήσκου μὲν τοῖς τούρκοις, ὁμογλώττου δὲ τοῖς γεωργοῖς, ἀποστατησάντων διὰ τὴν βλακίαν καὶ ἀδράνειαιν τῶν τῆς Περσίας ἀρχόντων, καὶ ἐπ' αὐτοὺς δυνάμει ἐλθόντων ὑπ' ἀρχηγὸν Μαχμοὺτ, καὶ Ισπαχὰν μεγάλην πόλιν, ὅπου τὰ βασίλεια ἦν τοῦ Χουσσεὶν τοῦ τότε Περσίας βασιλέως, πολιορκησάντων, Ταχμὰζ ὁ πρεσβύτερος υἱὸς τοῦ Χουσσεῒν, γνώμῃ αὐτοῦ τε καὶ τῶν ἀρχόντων, ἐς τοὺς βορείους νομοὺς κρύφα ἀποστέλλεται· τοῦτο μὲν, ἀρωγὴν ἐκεῖθεν τῇ πολιορκουμένῃ πόλει διαπραξόμενος· τοῦτο δέ, εἴτι καὶ ἕτερον ἀντίξουν συμβαίη, ἐκεῖσε πη διασωθησόμενος,

ἵν' ὁ βασιλικὸς τῶν σοφιδῶν οἶκος μὴ ἐκλείψῃ παντάπασιν.

Ἀλλ' οἱ μὲν αὐγανοὶ, ἐλλείψει τῶν πρὸς τὸ ζῆν καὶ πειναναγκῃ, τάχιστα μεγάλην πόλιν ἐξεπολιόρκησαν, καὶ ὁ σιβαρίτης Χουσσεῒν ἀναγκασθεὶς ἐξέρχεται πρὸς τὸν Μαχμοὺτ, καὶ γνωρίζει αὐτὸν βασιλέα Περσίας, καὶ τὸ διάλιθον πτερὸν, τὸ ἰσοδυναμοῦν ἐν Ἀσίᾳ τῷ στέφάνῳ τῶν εὐρωπαίων, ἐξελὼν ἐκ τοῦ αὐτῷ κεφαλοπεριδήματος, τῷ τοῦ τῶν αὐφγανῶν ἀρχαποστάτου ἐνέβαλε, καὶ οὕτως αὐτὸς δι' ἑαυτοῦ Περσίας βασιλέα Μαχμοὺτ τὸν ἀποστάτην, ἀνανδρότατα καὶ αἴσχιστα πράττων, ἀνηγόρευσεν. Ο δὲ Ταχμὰζ οὐδ' ἀρχὴν αὐτῷ τὰ τῆς ἐς τὰ παρακάσπια ἀποστολῆς ἑώρα ἀκίνδυνα, ἑκάστου τῶν μικρῶν νομαρχῶν τὸν θάνατον αὐτοῦ ὁδὸν ἠνεωγυῖαν πρὸς τὴν ἀνεξάρτητον ἡγεμονίαν ὁρῶντος, οὐχ ὅπως καὶ διαπράξασθαί τι σωτήριον τῷ πατρὶ ἴσχυσε. Τοῦτον γοῦν τὸν χουσσεϊνίδην Ταχμὰζ ῥεμβόμενον οὕτω καὶ περιπλα-

*νώμενον, καὶ ἤδη ταῖς ἄρκυσι καὶ ἐνέδραις τῶν ἀπίστων καὶ δολίων πατρικῶν ὑπηρετῶν ἐμπεσεῖν κινδυνεύοντα, ὁρᾷ ὁ πανοῦργος, εἴπερ τις ἄλλος, ἀρχιληστὴς παῖς Ναδὶρ, καὶ ὠδίνων πάντως μεγάλα, καὶ ὅλον ὄρος, τὸ λεγόμενον, ὑποκρίνεται σωτῆρος κομμάτιον, καὶ ἥκει πρὸς αὐτὸν, ὡς διακαὴς ζηλωτὴς τάχα τοῦ χουσσεϊνικοῦ οἴκου καὶ τῆς περσικῆς θρησκείας, καταπατουμένης ἤδη ὑπὸ τῶν ἀσεβῶν καὶ ἁρπάγων ὁμαριτῶν τῶν αὐγανῶν, καὶ προσκυνεῖ τὸν Ταχμὰζ, καὶ βασιλέα τῆς Περσίας γνωρίζει, καὶ πάντα ποιήσειν αὐτῷ ἐς ἀναλαβὴν τοῦ πατρικοῦ θρόνου, ἀκμὴν καὶ, ἢν δέῃ, θύσειν καὶ τὴν ζωὴν αὐτοῦ αὐτῷ, διακαῶς ἐπαγγέλλεται.*

*Ταῦτα ὁ χουσσεϊνίδης πυθόμενος, ὁ φάσγανον καὶ δολοφονικὸν ἐγχειρίδιον ἀπῃωρημένον ὑπὲρ τὸν αὐχένα, ὄναρ καὶ ὕπαρ τῷ φόβῳ ὁρῶν, ἀγκάλαις ἠνεωγμέναις περιπτύσσεται καὶ καταφιλεῖ τὸν παῖδα Ναδὶρ, καὶ ἄλλον αὐτὸν Ταχμὰζ ὀνομάζει. Ἐκ τούτου ὁ παῖς Ναδὶρ, Ταχ-*

μὰζ παῖς Ναδὶρ ἐκαλεῖτο, καὶ στρατηγὸν ἑαυτὸν τοῦ βασιλεέως ἀνεκήρυξε· καὶ συντίθενται ἄμφω, καὶ ὁ μὲν χουσσεϊνίδης γνωρίζειν ὡμολογησε τὸν παῖδα Ναδὶρ, ἤδη Ταχμὰζ παῖδα Ναδὶρ, πρέσβυν αὐτοκράτορα, στρατηγὸν ἀνεξάρτητον πάντη καὶ αὐτοκίνητον, ὑπερέτην αὐτεξούσιον, αὐτόνομον καὶ αὐτοκέφαλον, καὶ πραγματευτὴν ἐν πᾶσι αὐτόγνωμον· ὁδέ Ταχμὰζ παῖς Ναδὶρ ὡς ἀρχηγεμόνα καὶ βασιλέα νόμιμον τὸν χουσσεϊνίδην Ταχμὰζ ἐγνώρισε, τῶν πρωτείων πανταχοῦ καὶ τῶν βασιλικῶν παρασήμων αὐτῷ ἐξιστάμενος.

Ταῦτα δρῶν καὶ πυθόμενος ὁ Περσικὸς λαὸς, οἰκτείρων τὸν χουσσεϊνίδην Ταχμὰζ, καὶ θαυμάζων τὸν Ταχμὰζ παῖδα Ναδὶρ, ἐκείνῳ μὲν ἀναλαβεῖν τὴν βασιλείαν καὶ καθίσαι ἐπὶ τοῦ πατρικοῦ θρόνου, τούτῳ δὲ τῶν ἀποστατῶν καὶ ἁρπάγων περιγενέσθαι ηὔχετο, εὐτυχοῦντα ἐν ὅπλοις πάντοτε. Ουτω μὲν οὖν ἡ στρατιὰ

τοῦ Ταχμὰζ παιδὸς Ναδὶρ ἤρξετο, καὶ ἤδη ὁ γενναῖος ζηλωτὴς καὶ ἔνθερμος ὑπέρμαχος τῆς περσικῆς βασιλείας καὶ θρησκείας, καὶ ἐν παρατάξει μεγάλῃ ἱκανὸς ἦν τοὺς ἐχθροὺς τοῦ βασιλέως καταγωνίζεσθαι, καὶ ἐπὶ τὸν σατράπην τοῦ Χορασὰν ἔρχεται, καὶ μάχῃ τοῦτον κατὰ κράτος νικήσας, ἐγκρατὴς τοῦ νομοῦ ὑπὲρ τοῦ χουσσεϊνίδου Ταχμὰζ γίνεται. Επειτα δὲ ὁρμήσας δυνάμει ἐντεῦθεν, ἐπὶ τὸν ἀδελφὸν τοῦ Μαχμοὺτ· ἤδη γὰρ οὗτος τὸ ζῆν κατεστρόφει· ἔρχεται, καὶ νικήσας ὁλοσχερῶς τοὺς αὐγανοὺς, ἐς τὸ Ισπαχὰν θριαμβεύων ἐλαύνει, καὶ ὁ ἅρπαξ διασωθῆναι ἐς τὴν Αυγανίαν βουλόμενος, καθ' ὁδὸν ἐπιβουλέυεται ὑπ' ἄλλων ἁρπάγων καὶ φονεύεται. Ταχμὰζ παῖς Ναδὶρ μεταπέμπεται μετὰ ταῦτα τὸν βασιλέα ἐκ Χορασὰν, καὶ ἐπὶ τοῦ πατρικοῦ ἐγκαθίζει θρόνου, καὶ τὴν Περσίαν πᾶσαν αὐτῷ ὑποτάττει, τοῖς τε τύρκοις πολεμεῖ καὶ τόπους τούτους ἀφαιρεῖ, καὶ φοβερός ἐστιν αὐτοῖς, καὶ τὴν εἰρή-

νην πολλάκις ὑπηγόρευεν αὐτοῖς ὅπως ἐβούλετο.

Πολέμου ποτέ ὄντος πρὸς τοὺς τύρκους τοῖς πέρσαις, ὁ Ταχμὰζ παῖς Ναδὶρ, αὐτουργὸς ἀεὶ πολέμων καὶ μαχῶν ὤν, διέτριβεν ἐν τοῖς ὁρίοις, καὶ βαρὺς μάλα καὶ θλιπτικὸς καὶ πνικτικὸς, οὕτως εἰπεῖν, τοῖς τύρκοις ἐτύγχανεν· οἱ δὲ μὴ δυνάμενοι δι' αὐτοῦ τὸν πόλεμον καταλύσασθαι, ἐπὶ μεγάλοις μόνον καταλύσει πολέμου συναινοῦντος, ἐφ' ἕτερα τρέπονται, καὶ πρέσβεις αὐτοκράτορας, ἀγνοοῦντος τοῦ Ταχμὰζ παιδὸς Ναδὶρ, πρὸς τὸν Ταχμὰζ Χουσσεϊνίδην ἀπέστειλαν, ἐξαιτούμενοι παρ' αὐτοῦ ὡς βασιλέως τὴν εἰρήνην· καὶ οἱ περὶ αὐτὸν, φθονοῦντες τῷ Ταχμὰζ παιδὶ Ναδὶρ, ἀκίνδυνον καὶ σωτήριον τόπον θεατῶν ἀνοίᾳ καταλιπόντες, τραγικῶν ὑποκριτῶν ὀλεθρίως ὑποκρίνονται πρόσωπα· παροτρύναντες γὰρ τὸν Χουσσεϊνίδην, συνέπραξαν τοῖς τύρκοις τὴν ὀλεθρίαν σφίσιν εἰρήνην, καὶ ὁ Χουσσεϊνίδης ὑπέγραψε ταύτην, ἐπι-

λανθανόμενος ἢ περιφρονῶν, ὧν μετὰ τοῦ ἄλλου αὐτοῦ Ταχμὰζ πεποιήκει συγκειμένων. Πυθόμενος δὲ ταύτην ὁ παῖς Ναδὶρ, ἠχθέσθη μὲν ταύτῃ καὶ ἐχαλέπηνε, δῆλα δέ τὰ δόξαντά οἱ οὐδενὶ ἐποίησεν, ἀλλ᾽ ἀρέσκειαν προσποιηθεὶς, ἐς Ισπαχὰν ἐπανῆλθε, γνωρίσας τάχα, ἃ ὁ βασιλεὺς, ὡς ἀρχηγεμὼν τῆς Περσίας ἐποίησε. Μετὰ δὲ οὐ πολλὰς ἡμέρας, ἑστιάσαι τάχα τὸν βασιλέα καὶ τοὺς περὶ αυτὸν ἐκτὸς τοῦ Ισπαχὰν ἐν τοῖς αὐτοῦ ἀρχείοις βουληθεὶς, καὶ ἑορτάσαι οὕτω τὴν εἰρήνην, ἐκείνους μὲν κατασφαγῆναι πάντας ἐκέλευσε, τὸν δὲ ἠλίθιον Χουσσεϊνίδην, ἀπέπεμψε μὲν ἐς τὰ βασίλεια, πολιτευόμενος τὸν λαὸν, διαπραξάμενος δὲ αὐτῷ οἰνοφλυγίας καὶ αἰσχρῶν ἐρώτων δημοσίαν ὑπόληψιν, μισητέον καὶ βδελυκτέον τοῖς πέρσαις ἀποκατέστησε, καὶ τέλος τῆς βασιλείας ἐξέωσεν, καὶ ἐς τὸ Χορασὰν ἔπεμψεν, ἐκεῖ που ἔν τινι φρουρίῳ κεκλεισμένον βιώσοντα τὸν φαυλόβιον· ἀλλὰ καθ᾽ ὁδὸν ὁ Ταχμὰζ ἀπέθανε.

Μετὰ δὲ τὸν θάνατον αὐτοῦ, παῖδ' αὐτῷ καταλειφθέντα κομιδῇ ἀνήλικα, βασιλέα τῆς Περσίας ὁ Ταχμὰζ παῖς Ναδὶρ ἀνηγόρευσεν ὑφ' ἑαυτὸν τῆς βασιλείας ἐπίτροπον· καί ποτε διατρίβοντος αὐτοῦ ἐν τοῖς παρακυρίοις ἐν Αλανίᾳ θέρους, ὥσπερ συχνὰ ποιεῖν εἰώθει, τῇ ὡραιότητι τοῦ τόπου ἑλκόμενος, συνέβη τάχα τὸ παιδίον τεθνάναι. Τηνικαῦτα ὁ ὕπουλος καὶ κρυψίνους Ναδὶρ, τῆς ἀγγελίας τοῦ θανάτου ἠκούσης, κατήφειαν πολλὴν, καὶ λύπην βαθεῖαν προσποιούμενος, περὶ τοῦ ποιητέου ἠπόρει, καὶ τὸ τί ποιήσωμεν, πῶς διαθῶμεν τὸ μέλλον, συχνῶς καὶ μετὰ βαθέων ἀναστεναγμῶν ἐπελέγετο. Τοῦ βασιλικοῦ οἴκου πάντη ἐκλείψαντος, ἀπαραμύθητος ὁ Ταχμὰζ Ναδὶρ ἐφαίνετο. Τηνικαῦτα τῶν περὶ αὐτόν τις λογίων ἀνίσταται, καὶ ἀρχόμενος οὕτω τοῦ λόγου „γενεαὶ ἔρχονται, γενεαὶ παρελεύσονται“ δημηγορεῖ, παραμυθεῖται ἅπαντας, καὶ αὐτὸν τὸν Ταχμάζ παῖδα Ναδὶρ Βασιλέα Περσίας, ὡς διὰ τὰς μεγάλας καὶ πασιδήλους

ἀρετὰς, κρείττονα πάντων καὶ βασιλικῶν ἀπογόνων τυγχάνοντα, προβάλλεται. Αναγορεύουσι γοῦν ὁμοθυμαδὸν αὐτὸν ἅπαντες, ὅ, τε στρατὸς καὶ οἱ στρατάρχαι, βασιλέα Περσίας, καὶ ἀντὶ τοῦ Ταχμὰζ κουλῆ Ναδὶρ, ὡς πρότερον ἐκαλεῖτο, σιὰχ Ναδὶρ (βασιλέα Ναδὶρ) μετωνόμασαν, πετηκονταετῆ που τυγχάνοντα.

Μετὰ ταῦτα ὁ σιὰχ Ναδὶρ ὑποτάξαι πως καὶ λεηλατῆσαι τὴν πολύολβον Ινδίαν βουλόμενος, ὅπου τηνικαῦτα ὁ σιὰχ Αλέμ, ἄλλος οὗτος Σαρδανάπαλος, ἐβασίλευεν, ἀποστασίαν πλάττει καὶ κοινολογεῖ, ἐν τοῖς ἑῴοις τῆς Περσίας ἐν Αυγανίᾳ, οὐ πόῤῥω τοῦ Ινδοῦ ποταμοῦ, καὶ ἐς τὸ Κανδαχὰρ μητρόπολιν τῆς χώρας ἀφίκετο, λόγῳ μὲν, ἀποστασίαν μελετωμένην καὶ τυρευομένην καὶ ὑποκαίουσαν καὶ ἤδη ἐκραγήσεσθαι μέλλουσαν, ἀπείρξων ἐν καιρῷ προλαμβάνων, τὸ δ' ἀληθὲς, λησόμενος τὸν σιὰχ Αλὲμ, πράξαι, ἃ ἐβούλετο κατ' αὐτοῦ, παρασκευαζόμενος. Ουτω μὲν οὖν διατρίψας χρόνον τινὰ ἐν τῷ Κανδαχὰρ ου

πάντοι πόῤῥω τοῦ Ινδοῦ, καὶ παρασκευασθεὶς, ἀπαίρει αἰφνιδίως ἐπὶ τῆς Ινδίας, καὶ τὸν Ινδὸν περαιοῦται μετὰ ἑπτὰ μυριάδων γεγυμνασμένων καὶ λογάδων ἀνδρῶν μαχίμων, καὶ βαρείας πυροβολίας, καὶ εὐθὺ Τελχὶτ μεγάλης πόλεως, ὅπου τὰ βασίλεια ἦν τοῦ σιὰχ Αλὲμ ἐλαύνει. Διαπορούντων δὲ τῶν ἰνδῶν καὶ καταπληττομένων τῷ πράγματι, καὶ πρὸς ἀντίστασιν τρεπομένων, ἀλλὰ τίνος ἕνεκα ταῦτα, ὁ ὕπουλος καὶ κρυφίνους σιὰχ Ναδὶρ, ἀταράχως μάλα καὶ ἠπίως, ἔλεγεν, οὐχ ὡς ἐχθρὸς, οὐχ ὡς πολέμιος ἔρχομαι, ἀλλ' ὡς φίλος ἐπιθυμῶν, τὸν ἐμὸν ἀδελφὸν σιὰχ Αλὲμ ἐπισκέψασθαι καὶ ἀσπάσασθαι, καὶ εἰρήνης καὶ φιλίας παρούσης, περιττὰ πάντη τὰ ἐς ἄμυναν, καὶ βιασάμενοί με ἀμύνεσθαι, ὑμεῖς οἱ τοῦ κακοῦ αἴτιοι, ἔνοχοι ἔσεσθε. Ο δὲ σιὰχ Αλὲμ ἀθροίσας μέγαν στρατὸν, περί που τὰς πεντήκοντα μυριάδας, σώματα μαλακὰ ψυχὰς καὶ καρδίας μαλακώτερα ἔχοντα, καὶ ἀντιτάξασθαι ταῦτα θελήσας εὖ ἠσκημένοις παλαιοῖς καὶ

εὐψύχοις στρατιώταις, οὐδὲν ἐποίησε, και ἀντάραι ἐχθρὰν χεῖρα κατὰ ξένου ἑλόμενος, ὑπ᾽ ἐνοχὴν ἐγένετο, καὶ ὅτι τάχιστα ἑαυτὸν καὶ τὴν μεγάλην πόλιν καὶ πᾶσαν τὴν ἐντὸς τοῦ Γάγγη Ινδίαν τῷ τοῦ σισυροποιοῦ υἱῷ αἰχμαλώτους γενομένους ἑώρακεν.

Ο δὲ υἱὸς τοῦ σισυροποιοῦ ἐσελάσας θριαμβευτικῇ πομπῇ ἐς τὰ βασίλεια τοῦ Δέλχὶτ, σεὶν σιὰχ, ὁ ἐστι βασιλέα βασιλέων ἑαυτὸν ἀνηγόρευσεν. (Ου σοι δοκεῖ, φίλε, θέατρον ἀτεχνῶς ὁ κόσμος, καὶ κωμικὴ σκηνὴ τὰ ἀκουόμενα, ὅπου τραγικὰ κομμάτια ἀποθρηνοῦνται, ἢ τραγικὴ σκηνὴ, ὅπου κωμῳδίαι παντοδαπῶν κωμικῶν καταχλευαζομένων κομματίων παρίστανται;). Ο δὲ σιὰχ Αλὲμ ἐν τοῖς βασιλείοις ἦν καὶ αὐτὸς, ὡς θεατὴς ἐν θεάτρῳ ὁρῶν τὰ γινόμενα. Ο σιὰχ Ναδὶρ τὸν στρατὸν πολλὰ πεπονηκότα βουλόμενος μὲν ὠφεληθῆναι, ἐπιτρέπειν δὲ ἀναφανδὸν διαρπαγὴν τῆς πόλεως μὴ θέλων, διαπράττεταί που τῆς πόλεως ἀποστασίαν καὶ ἐπιβουλὴν, καὶ οὕτως

ὑπ' εὐλόγῳ αἰτίᾳ τάχα, τὴν διαρπαγὴν τῆς πόλεως τοῖς στρατεύμασιν αὐτοῦ ἐπέτρεψεν, ἑαυτῷ δὲ ὅσα ἐν τοῖς βασιλείοις ἦν ἐφύλαξεν. Ἐγένετο δὲ λεία τῷ υἱῷ τοῦ σισυροποιοῦ, πρὸς ἄλλοις παμπόλλοις, καὶ σκηνὴ μεγάλη χρυσόπαστος καὶ διαμάργαρος, θεραπείαν μεγάλην, οἷα ἦν ἡ τοῦ πλουσιωτάτου βασιλέως τῆς Ἰνδίας, ἱκανὴ ὅλην χωρῆσαι· καὶ ὁ πολυθρύλλητος θρόνος, οὗπερ τὸ παραῤῥάχιον ἐν σχήματι ταῶ οὐρᾶς ἐκπεπόνητο καὶ ἐπεξείργαστο, διαφόροις πολυτίμοις λίθοις, τὰ διάφορα χρώματα τῆς ταωουρᾶς παριστῶν· ἔτι δὲ καὶ δύο μεγάλαι ὁλόχρυσοι καὶ διάλιθοι λυχνίαι ἐφ' ἑκάτερα τοῦ θρόνου ἱστάμεναι. Ἕκαστα ταῦτα πολλῶν χιλιονίων ὁλλανδικῶν χρυσῶν ἐτιμῶντο. Ἦν δ' ἔτι καὶ ἡ χρυσοδιάλιθος ζώνη τῆς βασιλίσσης, ἣν ὁ σιὰχ Ναδὶρ τῇ αὐτοκρατορίσσῃ τῆς Ῥουσσίας δῶρον ἐπέμψατο. Ἡ τιμὴ τῶν ῥηθέντων προσδιώρισται ὑπὸ τοῦ Βατάτζη, ἑξκαίδεκα χιλιόνια ἡ τοῦ θρόνου χρυσῶν, ὅσαγε καὶ ἡμᾶς μεμνῆσθαι νῦν ἐστι, δυο-

καίδεκα ἡ τῆς σκηνῆς, καὶ ὀκτὼ ἡ τῶν λυχνιῶν. (Ην δὲ ὁ θρόνος ὡς ἀλλοθίπου ἀνέγνωμεν, ἔργον τοῦ ὑπουλοτάτου καὶ ἀσκητικωτάτου καὶ εὐτυχεστάτου τῶν πώποτε μνημονευομένων βασιλέων, τοῦ ἀποχειροβιώτου, λέγω, Αουρὲγγ Ζὲπ, ὅς περ ὑπέργηρος μὲν, ἐῤῥωμένος δὲ καὶ ψυχῇ καὶ σώματι ἐτελεύτησε· καὶ ὁ υἱὸς αὐτοῦ ὁ διαδεξάμενος αὐτὸν, ἀναβὰς ἐς τὸν πατρικὸν θρόνον, ἤδη προβεβηκὼς ἦν μάλα τῇ ἡλικίᾳ καὶ ἀναβεβηκὼς καὶ ὑπερβεβηκὼς πρὸ πολλοῦ ἴσως ἔτη τὰ ἑβδομήκοντα).

Διαρπάσας δὲ ὁ σιὰχ Ναδὶρ τὰ βασίλεια καὶ φορολογήσας τὴν Ινδίαν ἐπιεικῶς καὶ πολλοῖς χιλιονίοις χρυσῶν, ἐνθρονίζει πάλιν Αλὲμ, τῷ δοκοῦντι μὲν αὐτοκράτορα τῆς Ινδίας, τῷ ὄντι δὲ σκιάν τινα αὐτοκρατορικῆς ἐξουσίας ἔχοντα, θεατρικόν πως τυγχάνοντα αὐτοκράτορα· διατεθείκει γὰρ οὕτως καὶ διατετάχει τὰ τῆς Ινδίας ὁ πανοῦργος υἱὸς τοῦ σισυροφόρου, ὥστε αὐτὸν καὶ πόῤῥω ὄντα πλείω ἔχειν τοῦ Αλὲμ ἐν Ινδίᾳ ἐξουσίαν. Αλλὰ γὰρ

τῆς τοιαύτης διαταγῆς (ἕτεροι τηλεγενέες νησιῶται ἀπώναντο, ὥσπερ ἡ ἀλώπηξ τοῦ μύθου) οὐδὲν ἀπώνατο· ἐφθη γὰρ ἐκ μέσου τοῦ θεάτρου ἀρθεὶς, ἐμπλήσας τὴν οἰκουμένην τοῦ ἑαυτῷ ὀνόματος, καὶ ποιήσας θαυμάζειν τῶν κομματίων ἕνεκα, ἅπερ εὐφυῶς μάλα καὶ εὐτυχῶς ὑπεκρίνατο. Ανέστρεψεν ἐς Περσίαν, ὕποπτος δὲ πέραν τοῦ δέοντος γενόμενος, καὶ αὐστηρότερον διοικῶν, τοῖς περὶ ἓ λειτουργοῖς καὶ στρατηγοῖς ἐπεχείρησε, καὶ οὕτω πολλοὶ ὁρῶντες ἅπερ ἕτεροι ἔπαθον, τὰ αὐτὰ καὶ οὗτοι παθεῖν ὑποπτεύοντες, τό, τε αὐθέκαστον αὐτοῦ καὶ στρυφνὸν καὶ ὕποπτον μηκέτι φέροντες, συνωμοσίαν φονικὴν κατ᾽ αὐτοῦ τυρεύουσιν, ἵνα τοιούτου βασιλέως ἀπαλλαγῶσιν.

Ην στρατιὰ τῷ σιὰχ Ναδὶρ σωματοφυλακοῦσα, ἐκ τεσσάρων καὶ εἴκοσι χιλιαρχιῶν συγκειμένη, καὶ ἑκάστην νύκτα χιλιαρχία μία ἐν τοῖς βασιλείοις φυλακῆς ἕνεκα διενυκτέρευε. Μιᾶς τούτων τῶν χιλιαρχιῶν τοὺς ταξιάρχας διαφθείρουσιν

οἱ συνωμόται, ἐξ ὧν καὶ ἀδελφιδοῖ τοῦ σιὰχ Ναδὶρ ἐτύγχανον, καὶ πείθουσι κτεῖναι τὸν Ναδὶρ, καθ' ὃν καιρὸν νυκτὸς, ὡς αὐτὸς ἀεὶ εἰώθει, ἐξήρχετο καὶ ἐσκόπει εἰ οἱ φύλακες τοῦ σφετέρου ἔργου μὴ ἀμελοῖεν. Ουτως ἐξελθόντα νυκτὸς, τῆς διαφθαρείσης χιλιαρχίας φυλαττούσης, καὶ τοῖς φύλαξι προσπελάσαντα, καὶ κατὰ τὸ εἰωθός οἱ, προσφωνήσαντα, κατακτείνουσιν αὐτὸν οὗτοι ξίφεσι. Διαπύστου δὲ τοῦ πράγματος γενομένου, βοηθοῦσιν αἱ λοιπαὶ ταξιαρχίαι ἐς τὰ βασίλεια, καὶ τὴν δόλιον καὶ ἄπιστον χιλιαρχίαν κατακόπτουσιν ἅπασαν, ἀλλ' οἱ συνωμόται καὶ ἔνοχοι ἐφθάκεσαν σταθμοῖς ἀποδεδρακότες, καὶ ἐς Χορασὰν διεσώθησαν, ὅπου καὶ ἡ πατριὰ ἦν τοῦ σιὰχ Ναδὶρ, καὶ οἱ θησαυροὶ, ὡς ἐν ἀσφαλεστέρῳ τόπῳ, ἐναπέκειντο· ἐκεῖ γάρ που, ὡς ὁ Βατάτζης φησὶν, ὁ σιὰχ Ναδὶρ ὠχυρωμένον θαυμασίως ὑπὸ φύσεως χωρίον προσλαβὼν, τὰ τῆς τέχνης προσέθη ὀχυρώματα. Κατακτείνεται δὲ ὑπὸ τῶν συνωμοτῶν καὶ ἡ

πατριὰ τοῦ σιὰχ ναδὶρ, καὶ ὁ ναδιρικὸς οἶκος οὐκ ἔφθη φυεὶς καὶ ἐκλείπει παντάπασιν. (Ὁρᾷς φίλε, οἷα τὰ τύχης δωρήματα· μηδένα τοίνυν πρὸ τοῦ τέλους μακάριζε, εἰδὼς ἐπὶ εὐκινητοτάτης σφαίρας βεβηκυίας τὴν Τύχην.)

Διατρίβων ποτὲ ὁ Ναδὶρ παρὰ τὸν Τίγριν περὶ τὴν περιώνυμον πόλιν Μπαγδὰτ, ἐς ναόν τινα τῶν μωαμεθανῶν, ὅπου τάφος ἦν τινος παρὰ τοῖς μωαμεθανοῖς περιφήμου ἁγίου, ἀργύρῳ πολλῷ καὶ χρυσῷ κεκοσμημένος, ἐσῆλθεν ἀποδώσων τάχα τῷ κειμένῳ ἁγίῳ τὸ ὀφειλόμενόν οἱ σέβας καὶ χρέος· ἰδὼν δὲ τὸν πολὺν ὄλβον, προσβλέψας ἐς τὸν τάφον ἔφησε, κύριε, ταῦτά σοι τὰ χρυσώματα καὶ ἀργυρώματα, ἐν τῇ μακαρίᾳ νυνὶ λήξει διατρίβοντι, περιττὰ πάντα τυγχάνει καὶ ἄχρηστα· οἱ γὰρ μακάριοι τῶν εὐτελῶν καὶ γηίνων ἀγαθῶν ἐκ πολλοῦ τοῦ περιόντος ὄντες ὑπέρτεροι, ἀνεπιδεεῖς πάντη εἰσί. Επιτρέψεις γοῦν πάντως ἐμοὶ λαβεῖν ταῦτα, τῷ τὴν τροφὴν καὶ τὴν ἔνδυσιν πολλῶν

χιλιάδων ἀνδρῶν ἀναδεδεγμένῳ, καὶ ἐκέλευσε τοῖς περὶ ἑαυτὸν τοῦ περιττοῦ ἄχθους τὸν μακάριον ἀπαλλάξαι.

Φίλος ἦν τοῖς ῥούσσοις ὁ σιὰχ Ναδὶρ, οὐχ ὡς μὴ βουλόμενος ἐπιχειρῆσαι τί ποτε κατὰ τούτων, ἀλλὰ φρόνιμος ὢν, τὴν διὰ τὴν ἐν τῇ μεγάλῃ πυροβολίᾳ ἐπιδεξιότητα ὑπεροχὴν ἐκείνων ἐγνώριζε, καὶ τοὺς πέρσας οὔπω ἱκανοὺς ἀντιπαραταχθῆναι ἐκείνοις ᾔδει. Καί ποτε ἀνερωτῶν τινα τῶν τὰ ῥούσσων εἰδότων, καὶ πυθόμενος ὅτι συντεταγμένος τυγχάνων ὁ ῥούσσων στρατὸς, οὕτως ἐπιτηδείως καὶ ταχέως τῇ πυροβολίᾳ χρῷτο, ὥστε ἀδιαλείπτως ἐκ τοῦ στρατοῦ, ὡς ἐκ κλυδωνικοῦ νέφους, φλόγες καὶ καπνοὶ καὶ βρονταὶ ἐκρήγνυσθαι· ἀλλὰ νὴ Δία γε, ὑπομειδιῶν ἀπεκρίνατο ὁ Ναδὶρ, βουλοίμην ἂν κἀγὼ, ὡς γνήσιος πέρσης, (τὴν πυρολατρείαν τῶν πάλαι περσῶν ὑπαινιττόμενος), ἐν μέσῳ τοιούτῳ καὶ τηλικούτῳ πυρὶ ἀποληφθεὶς, οὕτω τὸν βίον τελευτῆσαι. Φιλικῶς διεπράξατο παρὰ

*τῶν ῥούσσων τὴν ἀπόδοσιν τοῖς πέρσαις τῶν πρὸς τὸ νότιον τοῦ Δέρβεντ τόπων.*

*Αδασμίαν ἐνιαυτοῦ ἀφῆκε ποτὲ τοῖς πέρσαις, καὶ ἐπὶ τούτῳ οἰκτείρμων ἐπωνομάσθη.*

*Πυθόμενος μεμφόμενόν οἱ τὸν υἱὸν καὶ διάδοχον ἐπὶ ταῖς συνεχέσι στρατολογίαις, καὶ ὅτι οὐδένα ἠρεμεῖν ἐώη, ἀπετυφλώσατο, τοιοῦτον διάδοχον ἀπολιπεῖν μὴ βουλόμενος.*

*Επιστρέφων ἐκ τῆς Ινδίας ἦλθεν ἐς Μπουχαρίαν, καὶ φιλίως τοῖς κατοίκοις ἐχρήσατο.*

*Περὶ πολλοῦ ὁ Ναδὶρ ἐποιεῖτο τὴν τακτικὴν τῶν εὐρωπαίων εἰσαγαγεῖν τοῖς ἑαυτοῦ στρατεύμασι, καὶ τοῦ φοβεροῦ ὅπλου τῆς πυροβολίας ἐφρόντιζε, καὶ στόλων κατασκευῆς ἐπὶ τῆς Κασπίας καὶ τοῦ περσικοῦ κόλπου, ἐφ᾽ ᾗ καὶ ἄγγλον ἔμπειρον μετεπέμψατο, καὶ μυριάδα χρυσῶν κατ᾽ ἔτος αὐτῷ ἐχορήγει.*

*Πολιορκῶν ποτὲ φρούριον ἐν τοῖς ὁρίοις τῆς Τυρκίας, καὶ τοῦ παρ᾽ αὐτὸν πρέσβεως ῥούσσου ἐκταραχθέντος διὰ τὴν*

πλησίον αὐτοῖς πεσοῦσαν πυροβολικὴν σφαῖραν, Θάῤῥει ἔφη αὐτὸς τῷ ῥούσσῳ ἀταράχως μάλα καὶ καθεστηκότως, οὐδεὶς ἔτι κίνδυνος.

Αυτη ἐστὶν, ὦ φίλε, ἐν συτόμῳ ἡ ἱστορία τοῦ σιὰχ Ναδὶρ, ὅσον γε ἦν ἡμῖν μεμνῆσθαι ταύτης, ἑπτὰ ἤδη ἐνιαυτοὺς ἀνεγνωκότας. Προσέθημεν δὲ τῇ ἱστορίᾳ τῆς Ρουμουνίας τὰ μνημονευόμενα, ἵνα, ἤν τι συμβαίη, ἀπόλοιτο, λέγω, τὸ χειρόγραφον, σώζοιτό γε τουτοὶ τὸ ταύτης ἀπόσπασμα· ὁ γὰρ κεκτημένος τοῦτο, οὐκ οἶδα εἴ ποτε ἐς φῶς ἐξελθεῖν τὸν πολίτην αὐτοῦ Βατάτζην διὰ τοῦ τύπου ἐπιτρέψειε, βυζαντιδικὴν μοῦσαν μὴ δυσωπούμενος. Βατάτζης ἦν ἐκ Βυζαντιου. Ηδει τὴν ἑλληνικὴν γλῶσσαν, εἰς ἣν καὶ τὴν ἱστορίαν τοῦ σιὰχ Ναδὶρ συνέγραψε, τὴν λατινικὴν, ἀραβικὴν, περσικὴν, τουρκικὴν, καὶ ἄλλας εὐρωπαϊκὰς γλώσσας. Περιῆλθε τῆς Ευρώπης πολλὰ μέρη. Διέτριψε πολὺν χρόνον ἐντῇ Περσίᾳ. Απεστάλη ὡς πρέσβυς ἐς τὴν Ρουσσίαν παρὰ τοῦ σιὰχ Ναδίρ.

---

Τοὺς τὸν κερδαλεόφρονα καὶ φιλοψευδῆ καὶ ἄμουσον καὶ ὅλως ἄλογον Ἑρμῆν ἐκδιδόντας, τοὺς τὰ πάντα εἰδότας καὶ μηδὲν ἐπισταμένους, τὰ πίτυρα καὶ τὰ σκύβαλα τῆς ἑλληνικῆς φιλολογίας, ἤδη καὶ πρὶν ἢ ἀναγνῶναί γε (γνῶναι γὰρ εἰ ἱκανοὶ οὐκ οἶδα) τὴν Ρουμουνίαν, καθυλακτεῖν ταύτης ἀρχομένους ἀκούω· ἀλλ' ἀδαεῖς ἑλληνικῆς παιδείας ὄντες, ἀδαεῖς ἱστορίας, ναὶ δὴ καὶ τῆς παχείας ἀκρισίας καὶ τῆς ἀκρατοῦς προπετείας καὶ τῆς τηλικαύτης κακοηθείας αὐτῶν ἕνεκα, λεπιδόπτερα, οὐμὴν δὲ καὶ ἄκακα, ψυχάρια ἀτεχνῶς οἱ ἄθλιοι τυγχάνοντες, περιφρονήσεως πολλῆς, ἀποκρίσεως δὲ οὐδεμιᾶς εἰσιν ἄξιοι· τί γὰρ ἄν τις αὐτοῖς τοιούτοις οὖσι καὶ ὀνοματομανίας ἢ κερδομανίας νόσῳ τὸ πᾶν θύειν φιλοῦσιν ἀποκρίναιτο; Λεγέτωσαν ὅ, τ' ἂν βούλωνται, φλυαρείτωσαν ὅσον ἂν δύνωνται, ὑλακτείτωσαν ὅσον ἂν χωρῶσιν αἱ κεφαλαὶ αὐτῶν· μικρὰ παντάπασι φροντὶς Ἱπποκλείδῃ, ἡ παροιμία φησί.

# Παρορύματα.

Μέρος πρῶτον·

| | | |
|---|---|---|
| Γενέσθαι . . | ἀναγίνωσκε . γενήσεσθαι· Σελ. | 32 |
| Καγγοὺλ, . . . . . . . . | Κάχουλ . σελίδι | 48 |
| Ἐγκολαμ: . . . . . . . . . | εγκεκολ: . . . | 58 |
| βεβηκότες . . . . . . . . | βεβηκότος . . . | 75 |
| διαβάζεται . . . . . . . . | διαβιβάζεται . | 238 |
| κνὶ . . . . . . . . . . . . | καὶ . . . . . . | 248 |
| φλυρίας . . . . . . . . . . | φλυαρίας . . . | 282 |
| ἀλλάσσοντις . . . . . . . | ἀλλασσοντες . . | 328 |
| ὀργυιῶν . . . . . . . . . | ποδῶν . . . . | 330 |
| βλέποντες . . . . . . . . | βλέποντας . . | 338 |
| ὑποστορέφει . . . . . . . . | ὑποστρέφει . . | 443 |

Μέρος δεύτερον·

| | | |
|---|---|---|
| ἀφνοντιστίαν . . . . . . . | ἀφροντισίαν . . | 137 |
| ἀφθνοτ . . . . . . . . . | ἀφθονώτερα . . | 170 |
| προσθεῖναι ἐντ: . . . . . . | προσθεῖναί τι ἐν | 178 |
| ποιηουμένων . . . . . . . . | ποιουμένων . . | 209 |

Επιλεγόμενα·

| | | |
|---|---|---|
| ὅσοι ἄλλοις . . . . . . . . | οἱ ἄλλοις . . . | 7 |

Μνημονευόμενα·

| | | |
|---|---|---|
| φλόγες, καπνοὶ, βρονταὶ . . | φλόγας, καπνοὺς βροντάς. | 21 |


ΑΣΙΑ
διὰ τὴν
ΡΩΜΩΝΙΑΝ
ΠΟΛΟΣ ἈΡΚΤΙΚΟΣ
ΚΑΤΕΨΥΓΜΕΝΟΣ ὨΚΕΑΝΟΣ
ΣΚΑΝΔΑΝΑΥΙΑ
ΒΑΛΤΙΚΗ ΘΑΛΑΣΣΑ
ΜΕΓΑΛΗ ΒΟΥΓΑΡΙΑ
ΚΑΣΠΙΑ ΘΑΛΑΣΣΑ
ΧΟΡΑΣΑΝ
ΘΙΒΕΤ
ΙΝΔΙΑ
ΑΡΑΒΙΑ
ΣΙΝΑ
ΚΑΡΑΚΟΡΑΣ
ΑΡΜΕΝΙΑ
ΜΙΚΡΑ ἈΣΙΑ
ΜΑΚΕΔΟΝΙΑ
ΙΤΑΛΙΑ
ΑΙΓΥΠΤΟΣ
ΘΑΛΑΣΣΑ



ΓΑΛΙΤΖΙΑ
ΜΠΟΥΚΟΒΙΝΑ
ΣΕΡΒΙΑ
ΠΟΝΤΟΣ ΕΥΞΕΙΝΟΣ
Πελεγράδ
Βιδίν
Κραϊόβα
Νικόπολις
Βάρνα
Σιμπίν
Χοτίν
Μπίστριτζα
Φοξάν


χαλκογραφηθέντα
1816 σεπτεμβ: 8.
Η Ρωμένια καὶ τὸ βόρειον τοῦ παλαιοῦ κόσμου ἐχαλκογραφήθησαν ἐν Βιέννῃ, ἐπιστασίᾳ τινὸς τῶν ἐκεῖ.
ΜΠΑΣΣΑΡΑΒΙΑ
ΠΟΝΤΟΣ ΕΥΞΕΙΝΟΣ
Νότος
Βορρᾶς
Ἰσμαήλ
Κελλίον
Παλαιὸν Κελλίον
Λ. Κασσάκ
Λ. Κατσιαὸκ
Λ. Γαλπὶλ
Καραμηράν
Μικρὰ ἀγορὰ Μπαμπαδάγι
Δίλτιτσα
Ὀφίουσα
Βιόγραμα